102. (3) Γράψαι δεῖ πρὸς μὲν τὺς ἄρχοντας ἐπιμερίσαι Φύλακας ἐν τοῖς χωρίοις, οἷς ἔνεισι Δονατισταὶ, ἀποτρέποντας τὰς ἐκείνων παροινίας καὶ τὸν Αἰκύτιον μὴ διεκδικεῖντι τῶν Ἱερατικῶν δικαίων. πρὸς δὲ τὸν Ῥώμης, ἢ τὺς ἄλλυς Ἐπισκόπους τῶν χωρῶν αἷς ἐνεδήμει ὁ Βασιλεὺς, ἵνα τούτῳ τὺς αὐτῶν τοποτηρητὰς συσήσωσιν.

ΚΑΝΩΝ

103. Ἐν τούτῳ τῷ Κανόνι κεφάλαιά τινα τίθενται (καθὼς Φησι Ζωναρᾶς, ἢ ἐκ τῦ Κανόνος ἐμφαίνεται), ἃ ἐκ ἀναγκαία γεγράφηνται, διὰ τὸ ἄρτι μὴ χρησιμεύειν (4).

ΚΑΝΩΝ ΡΓ'. (5)

Πεμφθῆναι γράμματα πρός τε τὺς ἄρχοντας προτρεπτικὰ, ὅπως

(α) Ἀπὸς'. μ'. Καρθαγενης λ'. μ'. νέ. (5) Καρθ. νέ.

(1) Δῆλον ὅτι κατὰ ὀρθοδόξων, χειροτονέντων αἱρετικὺς, ἢ ὑπὸ αἱρετικῶν χειροτονεμένων, τὸ ταὐτὸν πρόσιμον αἰτήσεται γνώσθαι. ἔτι δὲ, ἢ κατὰ τῶν ὑποδεχομένων ἴσως τοιούτυς αἱρετικὺς (ἤγεν τὺς Δονατισταὶς) εἰς ἱεροπραξίαν ἢ κτήσεσιν οἰκείοις (Ζωναρᾶς).

(2) Τῶν Δονατιστῶν δηλαδὴ

(3) Καὶ ἔτος ὁ Κανὼν ἐκ ἐπιγράφεται Ἑλληνιστὶ τὸν ἀριθμὸν, ὡς μὴ συντελῶν τι εἰς τὴν κοινότητα. (4) Καὶ ἔτος ὁ Κανὼν ἀνεπίγραφος τὸν

πως, καθὼς ἐν τῇ Καρχηδόνι ἕνωσις ἐγένετο (1), οὕτω καὶ ἐν ταῖς ἄλλαις Ἐπαρχίαις Φροντίσωσι γενέσθαι. ἐπίτε τὸ Κομιτάτον (2) εὐχαριστικὰ, διότι ἀπηλάθησαν (3) τῆς Ἀφρικῆς οἱ Δονατισταί.

ΚΑΝΩΝ ΡΔ'. (α)

104. Μὴ γίνεσθαι κατ' ἐνιαυτὸν Σύνοδον πάσης (4) τῆς Ἀφρικῆς, ἀλλ' ὅταν κοινὴ χρεία γένηται, καλεσθήσονται οἱ Ἐπίσκοποι διὰ γραμμάτων. τὰς δὲ ἰδίας αἰτίας, ἐν ἑκάστῃ Ἐπαρχίᾳ ζητεῖσθαι.

ΚΑΝΩΝ ΡΕ'. (β)

105. Ὅτι ὃ δεῖ αἱρετὰς δικαστὰς ἐκκαλεῖσθαι.

ΚΑΝΩΝ

116. Τοποτηρησίαι διαφόρων Ἐπαρχιῶν ἐμφανισθεῖσαι, χαρίεντως προσεδέχθησαν (5).

ΚΑΝΩΝ ΡΣ'. (γ)

117. Αἰτηθῆναι, ὥστε πάντε ἐπιλεγόντας ἐκβιβαστὰς (6) διανεμηθῆναι εἰς τὰς ἐν ταῖς διαφόροις Ἐπαρχίαις Ἐκκλησίας διὰ τὰ ἐκείνων τῶν Ἐκκλησιῶν χρειώδη.

ΚΑΝΩΝ ΡΖ'. (δ)

118. Αἰτηθῆναι ἔτι ἀπὸ τῶν Βασιλέων ἄδειαν τὸ καταξῆσαι ἐκδίκους σχολαστικοὺς (7) εἰς τὸ ἐκδικεῖν τὰ πράγματα τῆς Ἐκκλησίας,

---

(α) Ἀποστ'. λζ'. (β) Ἀποστ'. οδ'. τῆς ε'. τῆς δ'. θ'. Καρθ. ιε'.
(γ) Ἀποστ'. κζ'. τῆς αϛ'. θ'. (δ) Ἀποστ'. κζ'. τῆς αϛ'. θ'. Καρθ. πγ'

τὸν Ἑλληνικὸν ἀριθμὸν σὺν τὰ ἃ φησιν αἴτια.

(1) Τοῖς ὀρθοδόξοις δηλαδὴ μετὰ τῶν Δονατιστῶν.

(2) Εἰς τὸ παλάτιον, ταὐτὸν εἰπεῖν πρὸς τὸν Βασιλέα. ἡ Κόμης γὰρ ἐλέγετο ὁ Βασιλεὺς (καὶ τὸν Βαλσαμ.). (3) Τῇ τῶν προσαξει.

(4) Τὸ γίνεσθαι Σύνοδον τὴν Ἀφρικὴν κατ' ἰδιαυτὸν, ἀπὸ πασῶν τῶν ἐπαρχιῶν αὐτῆς, ἐμποδίζεται ἐνταῦθα, ἡ μὴν δὲ ἡ μερικὴν Σύνοδον τὴν ἑκάστῃ ἐπαρχίᾳ, περὶ σὺν διαφόρων ἀνακυπτουσῶν ὑποθέσεων.

(5) Καὶ ἔτος ὁ Κανὼν ὡς ἤδη ἄχρηστος, ἔμεινε καθ' Ἕλληνας ἀνεπίγραφος τὸν ἀριθμόν. (6) Ἐοίκασιν εἶναι οἱ τοιοῦτοι, ἄρχοντες Βασιλικοὶ φέροντες εἰς ἔκβασιν δὲς ἂν ἐγκλήσεις ὑφῆς οἱ Ἐπίσκοποι κατά τινων δικαίως, ἢ ἡ σὺν διαφέρουσι τῶν ἐφεξῆς ἐκδίκων.

(7) Σχολάζοντας δηλαδὴ ἢ ἔργον ἔχοντας ἐκδικεῖν ἃ γράφει ὁ Κανών.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ας, ἀνθισαμένους μὲν τοῖς ἀνακύπτουσιν, ἀναφέροντας δὲ (1) τὰ ἀναγκαῖα τοῖς κριτηρίοις διὰ γραμμάτων ἀπὸ τῆς Συνόδου.

ΚΑΝΩΝ ΡΗ΄. (α)

109. Περὶ τοῦ εἶναι αὐτεξουσίους τοὺς τοποτηρητάς (2).

ΚΑΝΩΝ

110. Προμαρτυρησαμένων τῶν Μαυριτανῶν (καταφορικῶς δηλονότι) Περίμοσόν τινα ὥστε παρεσιασθῆναι τῇ Συνόδῳ, ἀνεζητήθη, ἢ ἐπεὶ οὐχ εὑρέθη, κεκρίται δηλωθῆναι τῷ Ῥώμης αὐτὸ τοῦτο, ὅτι δηλαδὴ ζητηθεὶς τῇ Συνόδῳ οὐχ εὑρέθη (3).

ΚΑΝΩΝ ΡΘ΄. (δ)

111. Περὶ τῶν μηδέποτε ἐσχηκότων ἰδίους Ἐπισκόπους ὄχλων, ὥστε πάλιν μὴ ἔχειν, εἰ μὴ συναινέσει τῆς Συνόδου ἑκάστης Ἐπαρχίας ἢ, τοῦ Μητροπολίτου, ἢ τοῦ Ἐπισκόπου, οὗ ἦν ἡ Ἐκκλησία (4).

ΚΑΝΩΝ ΡΙ΄. (γ)

112. Οἱ μετὰ τοῦ οἰκείου Ἐπισκόπου, πρὸ τοῦ τῆς ἑνότητος Βασιλικοῦ Νόμου (5) ἐπισραφέντες Δονατισταί, ἐχέτωσαν τὸν αὐτὸν Ἐπίσκοπον. εἰ δὲ ἀποθανόντος ἐκείνου, θελήσουσι μὴ ἔχειν ἴδιον, ἀλλ' ἑτέρας διοικήσεως Ἐπισκόπῳ (6), ᾧ ἀνήκουσιν, ὑποταγῆναι, ἢ τοῦτο

(α) Καρθ. ρϛ΄. (δ) Ἀποσ΄. λδ΄. Σαρδ. ς΄. Καρθ. ξϛ΄. ξέ. Λαοδ. νϛ΄.
(γ) Ἀποσ΄. λή. Καρθ. νέ.

(1) Ὅσα μὲν δύνανται, αὐτοὶ ἐκδικοῦσιν, ἀνθισάμενοι τοῖς ἀνακύπτουσι, τὰ δὲ λοιπὰ, ὑπομιμνήσκουσιν εἰς τὰ δικαστήρια.

(2) Καὶ ἐκ τούτου μανθάνομεν, καθὼς ἢ ἐκ τοῦ ρϛ΄. τῆς αὐτῆς, ὅτι οἱ τοποτηρηταὶ, οἱ ξελλόμενοι, ἢ πρὸς Συνόδου, ἢ πρὸς Βασιλέως, οὐκ ἀπεικότως δύνανται λαβεῖν αὐτεξουσιότητα, μὴ ὅτι γε ὧν οἷς διωρίσθησαν, ἀλλὰ καὶ ἃ πέρ οἴκοθεν ἐπινενοήκασι συμφέροντα τοῖς, οἵ γε αὐτοὺς ἀπεσταλκασιν, ἐκτελεῖν. καίτοι ἔσιν ὅτε μέχρι τοῦδε ὁρίζονται, καὶ ὁ περαιτέρω.

(3) Καὶ οὗτος ὁ Κανὼν ἀνεπίγραφος τὸν Ἑλληνικὸν ἀριθμὸν ὡς ἤδη ὢν τῷ κοινῷ ἄχρηστος.

(4) Οὗ ὑπὸ τὴν διοίκησιν ἴσως ἡ Ἐκκλησία αὕτη, εἴτ' ἂν παροικία (κατὰ τὸν Ζωναρ.) ὑπῆρχε. (5) Γέγονε νόμος παρὰ τῶν Βασιλέων ἑνωθῆναι τὰς Ἐκκλησίας τῆς Ἀφρικῆς (Ζωναρ.) τῶν Δονατιστῶν δηλαδὴ μετὰ τῶν ὀρθοδόξων. Καρθ. ργ΄. σημειώσει ά. (6) Ὀρθοδόξῳ πάν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῦτο αὐτοῖς ἐξέσω. μετὰ δὲ τὸν ἀνωτέρω Νόμον, πάσας τὰς Ἐκκλησίας (1), ἢ τὰς διοικήσεις αὐτῶν (2), ἢ τὰ δικαιώματα διοικεῖσθαι ὑπὸ τῶν καθολικῶν (3) Ἐπισκόπων τῶν ἐν τοῖς τόποις ἐκείνοις, εἴτε ἐπέτρεψαν ἐκεῖνοι (4), εἴτε μή. ἢ εἴτισιν ἐκ τύτων κατεχρήσαντο (5) μετὰ τὸν Νόμον, ἐπαναστρέψαι αὐτά.

ΚΑΝΩΝ ΡΙΑ'. (α)

113. 114. Ζητηθέντων τῶν κατηγόρων τῦ Ἐπισκόπυ Μαυρεντίυ, ἢ μὴ παρεσιασάντων τῇ Συνόδῳ, νεύσει ταύτης (6), παρέλαβεν ὁ Μαυρέντιος ἑπτὰ Κριτὰς, ὃς ἠτήσατο, πρὸς τὸ διαγνωσθῆναι τὰ κατ' αὐτῦ παρὰ τῷ οἰκείῳ πρωτεύοντι. παρ' ὃ ἢ οἱ λοιποὶ Κριταὶ (7) ἐπιλεγήσονται.

ΚΑΝΩΝ ΡΙΒ'. (β)

115. Ὥ"ςε γράψαι τὴν Σύνοδον τῷ Ῥώμης, ὅπως ἡ Ῥωμαϊκὴ, ἢ Ἀλεξανδρινὴ Ἐκκλησία, πρὸς ἀλλήλας διχονοῦσαι εἰρηνεύσωσι, καθὼς ὁ Κύριος παραγγέλλει.

ΚΑΝΩΝ ΡΙΓ'. (γ)

116. Ζητηθῆναι Νόμον γενέσθαι παρὰ τῶν Βασιλέων, ὥςε, ἐὰν διαζευχθῇ (8) συνοικέσιον, ἢ καταλλαγῆναι, ἢ ἕτω μεῖναι (9).

κατὰ

(α) Ἀποσ'. σθ'. Καρθ. ις'. ῥέ. ρλά. (β) Ἰωάν. ιδ'. 27. ά. Θεσσαλον'. έ. 13. (γ) Ἀποσ'. μή. τῆς ς'. πζ'. Ματθ. έ. λϛ'. ἢ 19. 9. Μάρκ. ί. 11. Λυκ. ις'. 18. Ῥωμ. ζ'. 3. ά. Κορινθ'. ζ'. 10. 27.

πάντως ἐξ ἀοχῆς ὄντι. (1) Τὰς ὡ τοῖς τόποις τῶν ἐπισραφώτων Δοναλισῶν. (2) Τὰς οἰκονομίας, ἢ τὰς ὡορίας αὐτῶν τῶν Ἐκκλησιῶν (Ζωναρ.). (3) Καθολικὺς μὼ αὐτὺς καλεῖ, ὡς ὀρθοδόξυς. ὡ τοῖς τόποις δὲ ἐκείνοις λέγει, ὡς γειτονεύοντας.

(4) Εἴτ' ἓν οἱ Δοναπισαὶ. (5) Καὶ εἴ περ οἱ Δοναπισαὶ ἐξεποίησαν πότινα τῶν Ἐκκλησιασικῶν πραγμάτων, ἤγυν ἐπώλησαν, ἢ ἠλλοτρίωσαν.

(6) Ἐκ τύτυ μανθάνομεν, ὅτι δίδοται ἄδεια τῷ κατηγορεμένῳ Ἐπισκόπῳ, ἢ Κληρικῷ, ἐπιλέγειν ἢ πλείυς τῶν ἡμίσεων κριτὰς, ὃς ἂν ἕλληται. (7) Ἕως τῶν, ιϛ'. δηλονότι (Καρθαγένης, ιϛ'.).

(8) Ἐξεταστέα ἡ λύσις εἴτε ἐπὶ πορνείᾳ, εἴτε ἐπ' ἄλλῃ αἰτίᾳ ἐσὶν εὐλόγῳ, ὁπότε ἢ μένει ἕτως, ὡς ἐγένετο, ἤγυν λελυσμένα τὰ μέρη.

(9) Τυτέσιν ἀγάμυς τῦ λοιπῦ ἑκατέρυς. ὁ δὲ Βασιλ. „ Φησιν (θ'. Καν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ τὴν Εὐαγγελικὴν, ἢ Ἀποστολικὴν διδασκαλίαν. εἰ δὲ μή γε, ἀναγκασθήτωσαν μετανοῆσαι (1).

ΚΑΝΩΝ ΡΙΔ'. (α)

117. Αἱ πρὸς τὸ Θυσιαστήριον ὀφείλεσαι λέγεσθαι ἱκεσίαι, εἴτε προοίμια (2), εἴτε παραθέσεις, εἴτε αἱ τῆς χειρὸς ἐπιθέσεις, μὴ ἄλλαι κατὰ τῆς πίστεως, ἀλλ' ἢ αἱ κεκυρωμέναι ἔσωσαν (3) ἐν τῇ Συνόδῳ, ἢ αἱ ἀπὸ τῶν συνετωτέρων συναχθῆσαι.

ΚΑΝΩΝ ΡΙΕ'. (ε)

118. Ὅσοι πρὸς Βασιλέα ἀπίασιν, εἰ μὲν ζητῆσι διάγνωσιν δημοσίων δικαστηρίων (4), καθαιρείσθωσαν. εἰ δὲ ἵνα πρὸς Ἐπισκόπων, μὴ ἐμποδιζέσθωσαν.

ΚΑΝΩΝ ΡΙς'. (γ)

119. Περὶ τῶν ἐν Ἀφρικῇ μὴ κοινωνέντων, εἴγε λάθρα ἀπέλθωσιν εἰς τὰ περατικὰ (5) πρὸς τὸ κοινωνῆσαι, ἐκπεσέντας τῆ Κλήρῳ.

ΚΑΝΩΝ ΡΙΖ'. (δ)

120. Ὁ ἐπὶ τὸ κομιτάτον πορευόμενος (6), δεικνὺς τὴν οἰκείαν ἀπολυτικὴν Ἐπιστολὴν (7) τῷ Ῥώμης, εἰπάτω τούτῳ ἢ τὴν ἀνάγκην.

(α) Λαοδικ. ιή. (ε) Ἀποστ. οδ'. τῆς ε'. ς'. τῆς δ'. θ'. Καρθ. ιδ'. Ἀντιοχ'. ιε'. (γ) Ἀποστ. ιε'. ιγ'. λε'. Καρθ. λς'. ρλς'. (δ) Ἀποστ. ιε'. Ἀντιοχ'. ιά. Σαρδικ. θ'. Καρθ. μζ'.

» Καν'.) ὁ καταλειφθεὶς (τουτέστιν ἀλόγως) συγγνωστὸς ἐστι. ἢ ἡ συνοι-» κοῦσα αὐτῷ, ἐ κατακρίνεται. (1) Ὡς μοιχείαν ἐργασάμενοι.

(2) Προοίμια εἰσὶν, ὡς ὠ τῇ λειτουργίᾳ, τὰ τυπικὰ, ἢ τὰ ἀντίφωνα, ἢ τὰ ἐφεξῆς Τροπάρια. παραθέσεις δὲ, οἷον τὸ, ἑαυτοὺς ἢ ἀλλήλους Χριστῷ τῷ Θεῷ παραθώμεθα. σλὰ δὲ τῆς ἐπιθέσεως τῆς χειρὸς, τὰς ὠ χειροτονίᾳ εὐχὰς ὁ Κανὼν ἐδήλωσε. (3) Τὰς ἓν εὐχὰς, ἐπὶ πάντων τῶν μυστηρίων. τὰς κεκυρωμένας ὠ τῇ Συνόδῳ εἰκὸς λέγεσθαι, ἐ μὴν δὲ ἄλλας νεοσυντάκτους. (4) Ὥστε κριθῆναι εἰς πολιτικὰ δικαστήρια.

(5) Εἰς τὸ πέραν τῆς Ἀφρικῆς. (6) Ὁ πρὸς τὸν Βασιλέα ἀφικόμενος Ἐκκλησιαστικὸς, σλά τινα ἑαυτῷ ἀνάγκην. (7) Διότι ἐκεῖσε ὠ τῇ Ῥώμῃ διέτριβεν ὁ Βασιλεὺς, δίκαιος ἦν εἰδῶναι ὁ Πάπας τὰς τῶν τοιούτων Ἐκκλη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κην, δι' ἣν ἄπεισι πρὸς τὸν Βασιλέα, ὡς ἂν ᾖ ἐξ ἐκείνης ἀπολυτικὴν λάβοι πρὸς τὸν Βασιλέα. εἰ δὲ σιωπήσας ἀπέλθῃ πρὸς τοῦτον, ἀκοινώνητος ἔσῳ (1). Ἐὰν δέτις τῇ Ῥώμῃ ἐνδημῶν ἀθρόον σχοίη ἀνάγκην τοῦ ἀπιέναι εἰς τὸ κομιτάτον, ἐμφανισάτω τῷ Ῥώμης τὴν αἰτίαν (2). αἱ δὲ ἀπολυτικαὶ, ἐχέτωσαν τὴν ἡμέραν τοῦ Πάσχα, ἢ τοῦ ἐπιόντος, ἢ (ἐγνωσμένης ταύτης) τοῦ παρελθόντος, καθὼς γραφεται ἡ Ὑπατεία ἐν τοῖς δημοσίοις πρακτικοῖς (3).

ΚΑΝΩΝ ΡΙΗ'. (α)

121. Ὥρισε Ἐπίσκοπον ἕνα μὴ ἐκδικεῖν ἑαυτοῦ διάγνωσιν (4).

ΚΑΝΩΝ ΡΙΘ'. (6)

122. Αὐτοπροαιρέτως ἕκαστος χρισιανιζέτω (5).

ΚΑ-

(α) Ἀπος'. οδ'. τῆς 6'. ε'. τῆς δ'. θ'. Καρθ. ιϛ'. ις'. κή.
(6) Νεοκαισαρείας ιϛ'.

Ἐκκλησιαστικῶν πρὸς τὸν Βασιλέα Συντυχιας ὡς πρωτεύων τῶν αὐτόθι Ἱεραρχῶν. (1) Ἔοικε δὲ ἡ ἀπολυτικὴ ἐπιστολὴ, ἣν κομίζεται παρὰ τῶν Προεσώτων ἑαυτοῦ ὁ τοιοῦτος μὴ δεδεγμένην ἢ δεδεγμένα ἀνάγκην ἀποδημεῖ. διὰ τοῦτο ἢ ἐπισκήπτεται πρὸς τῇ ἐμφανείᾳ τῆς Ἀπολυτικῆς (ἤγε ἄπεισι πρὸς τὸν Βασιλέα) ἐξαγγεῖλαι τῷ Ῥώμης ἢ τὴν, ἣν ἔχει ἀνάγκην δι' ἣν εἰς τὸ κομιτάτον πορεύεται. εἴποι δ' ἄν τις ἢ ἄλλως, ὅτι πρὸς τὸν Βασιλέα ἦν ἡ Ἀπολυτικὴ ἐκείνη, ἢ δὲ πρὸς τὸν Πάπαν. ἀλλὰ ἡ Σύνοδ. ἢ ὅτως ἔχεσαν, ἐπισκήπτει δεικθῆναι τῷ Πάπα ἐξαγγέλοντα αὐτῷ ἢ τὴν ἀνάγκην. (2) Καὶ ὡς εἰ ἔλεγεν. ἀπόχρη ἡ πρὸς ἐκεῖνον ἐμφάνεια, χωρὶς τοῦ δεηθῆναι Φροντίδα λαβεῖν, ἢ τῷ οἰκείῳ Ἐπισκόπῳ ἐμφανίσαι τὴν αἰτίαν. (3) Ὥσπερ ἤδη εἰώθαμεν γράφειν τὸ ἀπὸ Χριστοῦ γεννήσεως σωτήριον ἔτος εἰς τὰς δημοσίας πράξεις, ἢ εἰς ἄλλας ἰδιαιτέρας. (4) Ἐπισκόπου πρὸς Ἐπίσκοπον, ἢ Ἐπισκόπου πρὸς Κληρικὸν διαφερομένου, ἡ ὅλη Σύνοδος ποιείτω τὴν δίκην, ἢ μὴ εἰς Ἐπίσκοπος ζητείτω ποιεῖσθαι τὴν περὶ αὐτῶν διάγνωσιν. (Ζωναρᾶς). ἡ μὴ διϊσχυριζέσθω ὁ Ἐπίσκοπος εἶναι τὴν ἀφ' ἑαυτοῦ μόνου γινομένην ὑπὸ τοῖς ὑπ' αὐτὸν διάγνωσιν, ἐπεὶ ἢ τοῖς Κληρικοῖς ἔξεστι (Καρθ. λς'. ρλθ'.) ἐκκαλεῖσθαι ταύτην, εἰς Σύνοδον, εἴτ' ἓν, ἢ εἰς πολλούς.

(5) Καὶ μὴ ἀναγκαζέσθω εἰς τοῦτο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ΚΑΝΩΝ ΡΚ'. (α)

123. (1) Ὁ λέγων τὸν Ἀδὰμ πλασθῆναι θνητὸν (2), ὡς, κἂν μὴ ἥμαρτε, τεθνηξόμενον τῇ ἀνάγκῃ τῆς Φύσεως, ἀνάθεμα ἔστω.

ΚΑΝΩΝ ΡΚΑ'. (β)

124. Καὶ τὰ νεογνὰ παιδία (3) εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζονται, ἐπειδὴ ἕλκουσιν εἰς ἑαυτὰ τὴν προπατορικὴν ἁμαρτίαν, κατὰ τὸ Γραφικὸν, » δι' ἑνὸς Ἀνθρώπου, ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, κ.ξ'. ἢ ὁ μὴ οὕτω φρονῶν, ἀνάθεμα εἴη.

ΚΑ-

(α) Καρθαγ'. ρκά. ρκβ'. ρκγ'. ρκδ'. ρκέ. ρκς'. ρκζ'.
(β) Τὰ αὐτὰ τοῖς ἀνωτέρω.

(1) Οὗτος ὁ Κανὼν ἢ οἱ ἑπίλοιποι ἑπτὰ, τὴν αἵρεσιν ἀνατρέπουσι τοῦ Πελαγίου, ἢ τῶ μαθητῆ αὐτῦ Κελεστίου (Αὐγουστίνος περὶ προπατορικῆ ἁμαρτήματος, (κεφ. έ. ἢ ς'.). (2) Ὁ Ἀδὰμ ὐκ ἐπλάσθη παρὰ Θεῦ φύσει θνητὸς, ἀλλὰ μέσος μεγέθους, ἢ ταπεινότητος, ἤγουν θνητότητος, ἢ ἀθανασίας. κἂν γὰρ σάρκα ἢ πρὸ τῆς παραβάσεως εἶχεν, ἀλλ' ὐχ οἵαν νῦν ἔχομεν. ἢ τῦτο φησὶν ὁ Θεολόγος Γρηγόριος (ὡ τῷ εἰς τὴν Χριστῦ γωνησιν λόγῳ σελ. 619.) » Καὶ τὰς δερματίνας ἀμφιῶ» νυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα, ἢ θνητὴν, ἢ ἀντίτυ» πον. ἀλ' τῆς ἁμαρτίας γὰρ εἰσῆλθον ὁ θάνατος. (Ῥωμ'. έ. 12.) Οἱ δὲ Πελαγιανοὶ λέγοντες ὅτι ἀπ' ἀρχῆς ἐπλάσθη θνητὸς ἢ διὰ τῦτο ἀνάγκη τῆς Φύσεως ἀπέθανεν ὁ Ἀδὰμ, ἢ ὐ διὰ τὴν ἁμαρτίαν, ἀναθεματίζονται ὑπὸ τῆς Συνόδυ, αἴτιον θανάτυ ποιούμενοι τὸν Θεὸν, ὅτε ὁ Θεὸς θάνατον ὐκ ἐποίησε, κατὰ τὸ γεγραμμένον.

(3) Οἱ Πελαγιανοὶ ἔτοι, ἢ σὺν αὐτοῖς, ἢ ἄλλοι αἱρετικοὶ, ἐβούλοντο μηδένα ἀνθρωπον κοινωνῆσαι τῶ Ἀδὰμ τῆς παραβάσεως. ὁ δὲ Καλβῖνος, ἢ οἱ κατ' αὐτὸν, θέλουσι μόνα τὰ γωνώμενα ὑπὸ τῶν πιστῶν μὴ μετέχειν, ἐ μὴν δὲ ἢ τὰ ὑπὸ τῶν ἀπίστων, ἡ δὲ ἡμετέρα Ἐκκλησία, κατὰ ἀληθῆ, ἢ πραγματικὴν κοινωνίαν δοξάζει μεταδίδοσθαι πρὸς πάντα ἄνθρωπον, μέχρι ἢ αὐτῆς τῆς Κυριάκης ἡμῶν Θεοτόκυ, τὸ τοιῦτον προπατορικὸν ἁμάρτημα. τῦτ' αὐτό ἐστι, ἢ τὸ τῦ Ἀποστόλυ, » ἐφ' ᾧ πάντες ἥμαρ» τομον (Ῥωμ'. έ. 12.). ὥθεται ἢ ἀναγκαίως οἱ πάντες ἄνθρωποι χρήζομεν τῦ κατὰ Χριστὸν βαπτίσματος. Γνώμη δὲ τῶν Θεολόγων ἐστὶν, ὅτι ὁ ὑλικὸς τρόπος, δι' ὃ τὸ τοιῦτον ἁμάρτημα μεταδίδοται, ἡ ἐμπαθὴς ἢ φιλήδονος ῥῦσις ἐστὶ τῦ σπέρματος, ἐξ ὃ συλλαμβανόμεθα. δι' ὃ ἢ ὁ Κυ-

ΚΑΝΩΝ ΡΚΒ'. (α)

125. Η' τῦ Θεῦ χάρις. ἢ τινι δικαιῦται ἕκαστος διὰ Ἰησῦ Χριστῦ (1), ἐχ ὅτι γε ἁμαρτιῶν ἄφεσιν, ἀλλὰ ἢ βοήθειαν παρέχει εἰς τὸ μὴ ἢ ἕτερα πλημμελεῖν (2). ἢ ὁ ἕτω μὴ γνωματεύων, ἀνάθεμα.

ΚΑΝΩΝ ΡΚΓ'. (β)

126. Η' αὐτὴ θεία χάρις, ἐ μόνον γνῶσιν τῦ καλῦ, ἢ κακῦ παρέχεται, ἀλλὰ ἢ ἀγάπην ἢ ἰσχὺν εἰς τὸ ποιεῖν τὸ καλόν. ἢ ὁ μὴ ἕτω δοξάζων, ἀνάθεμα. ἥτε γὰρ γνῶσις, ἢ ἡ ἀγάπη, ἐκ τῦ Θεῦ ἐσί. ἢ εἰ ἡ γνῶσις Φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ, πῶς παρὰ Θεῦ, τὸ μὲν Φυσιῦν, δοθήσεται ἡμῖν. τὸ δὲ οἰκοδομῦν, εἴτ' ὂν ἡ ἀγάπη, ἐκέτι;

ΚΑΝΩΝ ΡΚΔ'. (γ)

127. Χωρὶς αὐτῆς τῆ θείας χάριτος (3) ἐ μόνον δυσχερῶς, ἀλλ' ἐδὲ ὁλοτελῶς δυνάμεθα ποιῆσαί τι ἀγαθόν. ἢ ὁ μὴ ἕτω πιστεύων, ἀνάθεμα. „ ἐ γὰρ εἶπεν ὁ Κύριος, ὅτι χωρὶς ἐμῦ, ἐ δύνασθε „ εὐχερῶς ποιεῖν. ἀλλ' ἐδὲν ποιεῖν.

ΚΑ-

(α) Τὰ αὐτὰ τοῖς ἀνωτ'. (β) Καρθ. ρκ'. Ψαλμ. μδ'. 10. ά. Κορινθ'. ή. ι'. ά. Ἰωάν. δ'. 7. (γ) Καρθ. ρκ. Ἰωάν. ιέ. 5.

ὁ Κύριος ἡμῶν ἀναμάρτητος. ὅρα Εὐγώιον Βούλγαρ. θεολογία βιβλ'. γ'. τμήμ. β'. κεφ. ς'. περὶ τὸ τέλος σχεδον. (1) Η' δικαιῦσα τὸν ἄνθρωπον ὡ τῷ βαπτίσματι δηλονότι.

(2) Εἰ μὴ ἢ ἡμεῖς ὀλιγοραθυμίαν ἐκδῶμεν ἑαυτὸς ταῖς ἁμαρτίαις.

(3) Ἔλεγον ὅτι, ἡ ἀρχὴ τῆς σωτηρίας ἡμῶν ἔσιν ἀπὸ τῦ αὐτεξουσίυ, χρεία δὲ ἢ τὴν χάριν ταύτην ἣν δικαιῦσαν, ἕπεσθαι, ἐ μὴν δὲ προηγεῖσθαι, εἰ μὴ ὡίοτε. ἢ τὸ θέλημα τῦ ἀνθρώπυ ἀρκεῖ εἰς ἐκπλήρωσιν τῶν θείων ὡτολῶν. Τῦτο δὲ τὸ ἄτοπον αὐτῶν δόγμα, ἀνατρέπεται ἢ ὑπὸ Τῦ Ἀποσόλυ, λέγοντος. „ αὐτός ἐσιν ὁ ὡεργῶν ὡ ἡμῖν, ἢ τὸ θέλειν ἢ τὸ ὡεργεῖν. (Φιλιπ. β'. κεφ.) ἢ πάλιν. „ ἐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑ„ αυτῶν λογίσασθαι, κτ'. (β'. Κορινθ. γ'.) ὅρα ἢ περὶ χαρίτων ὡ Τῷ Κορεσίυ θεολογικῷ. ἐξ ὧν ἡμεῖς ἠρανισάμεθα συνοπτικώτερον τὰ ἑξῆς. Αἱ χάριτές εἰσιν αὗται, ἡ προκαταρτικὴ ἢ Φωτίζυσα πάντα ἄνθρωπον, (χωρὶς ὡεργείας τῦ αὐτεξουσίυ) πρὸς γνῶσιν Τῦ ἀγαθῦ. ἡ ὡδυναμῦσα τὴν θέλησιν εἰς τὸ ἀγαπῆσαι τὸ ἀγαθόν. ἡ συνεργῦσα μετὰ τῦ ὡεργῦντος τὸ ἀγαθὸν εἰς τὸ περανθῆναι τὴν πρᾶξιν ἐκείνυ τῦ ἀγαθῦ. ἡ δικαιῦσα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΝΩΝ ΡΚΕ'. (α)

128. Τὸ ῥητὸν τὸ λέγον » ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, » ἑαυτοὺς πλανῶμεν, καὶ τὰ ἑξῆς. ὅς τις νομίσῃ παρὰ τῶν ἁγίων λέγεσθαι διὰ ταπεινοφροσύνην, καὶ οὐ πρὸς ἀλήθειαν, ἀνάθεμα (1). εἰ γὰρ διὰ μόνην ἐκείνην ἐλέγετο τὸ ἁμαρτάνειν, οὐκ ἂν προσεζεύγνυον ὁ Ἀπόστολος οὕτως. » Ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας » ἡμῶν.... ἀφήσει ἡμῖν, κτλ. ἀλλ' οὐδύνατο εἰπεῖν, ἐὰν μὴ ὁμολογήσωμεν ἑαυτοὺς ἐξυψῆμεν.

ΚΑΝΩΝ ΡΚς'. (β)

129 Καὶ τὸ ἐκ τῆς Κυριακῆς Εὐχῆς » Ἄφες ἡμῖν τὰ ὀφειλήμα- » τα ἡμῶν, ὁ καταταυτὰ τῷ ἀνωτέρῳ ἐκλαμβάνων, ἀνάθεμα.

ΚΑΝΩΝ ΡΚΖ'. (γ)

130. Τὸ αὐτό ἐστι καὶ τούτῳ τῷ Κανόνι, προσιθεμένους καὶ ὅτι, οὐδεὶς ὑπομενεῖ τὸ ψεύδεσθαι τῷ Θεῷ τοὺς ἁγίους ἐν τῷ εὔχεσθαι τοῖς μὲν χείλεσιν, ἀφαιρεθῆναι αὐτοῖς τὰς ἁμαρτίας, τῇ δὲ καρδίᾳ λέγοντας μὴ ἔχειν.

ΚΑΝΩΝ ΡΚΗ'. (δ)

131. καὶ 132. Περὶ τῶν διοικήσεων (2) τῶν ἀπὸ Δονατιστῶν ἐπιστρα-

(α) α'. Ἰωάν. α'. 8. 9. Παροιμ'. κδ'. 16. Καρθαγ'. ρκ'. ρκά.
(β) Καρθ. ρκ. ρκά. Ματθ'. ς'. 12. ὅρα καὶ Ἰακώβ. γ'. 2. καὶ Βασιλειῶν γ'. ή. 46. (γ) Καρθ. ρκ. (δ) Καρθ. νέ.

σα, καὶ καθιστῶσα τὸν ἄνθρωπον, ὥστε δαμάνειν μέχρι τέλους τῷ ἀγαθῷ. ἡ Ἐκτικὴ καὶ καθ' ἕξιν ἐγκεκολαμμένη τῷ ἀνθρώπῳ, καὶ μένουσα ἐν αὐτῷ κατὰ βάθος, κἂν ἐνεργεῖ τὸ ἀγαθόν, κἂν μή. Καὶ αἱ μὲν πρῶται ἦρεις, ἐκλείπουσι πολλάκις τῶν ἐχόντων. ἐξ ὧν καὶ κολάζονται. αἱ δὲ τελευταῖαι δύο, μόνοις δίδονται τοῖς προωρισμένοις, μένουσι τοῦ Θεοῦ αὐτεξουσίᾳ καὶ μόναι αὗται ἐπισφραγίζουσι τὸν προορισμόν.

(1) Ὅσα ἐν τῷ Εὐεργετινῷ τὸν ἅγιον Μάρκον (σελ. 384.) ὅς τις καὶ αὐτὸς δι' ὧν λέγει τὸν Κανόνα τοῦτον ἐμπεδοῖ, μὴ μόνον δηλ. ἐπὶ τῶν ἁμαρτωλῶν, ἀλλὰ καὶ ἐπὶ τῶν δικαίων προσήκειν τὸ ῥητόν. οὐδὲς γὰρ φησιν ἀνελλιπὴς ἁμαρτημάτων εὑρίσκεται τοκαθημέραν.

(2) Τὰς διοικήσεις ἐνταῦθα παροικίας, ἢ ἐνορίας, ἢ τόπους, ἢ λαούς, τοὺς ἐν αὐτοῖς τοῖς τόποις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σραφεισῶν, πῶς εἴτε καθολικοὶ (1), ἢ οἱ ἐκ τῆ Δονάτε ἐπισραφέντες Ἐπίσκοποι, μερίζεσθαι ταύτας μεταξὺ ἀλλήλων ὀφείλεσιν.

ΚΑΝΩΝ ΡΚΘ'. (α)

133. Τόπος, ὃν μετὰ τὴς Νόμυς εἰ Ἐπίσκοπός τις ἀπὸ αἱρέσεως ἐλευθερώσας, κατάσχῃ αὐτὸν ἐπὶ τριετίαν, ἢ μὴ ἀναζητηθῇ παρά τινος, (καί τοι ὀφείλοντος μὲν αὐτὸν ἀναζητῆσαι, ἡσυχάζοντος δὲ), ἐς τὸπιὸν ὑπ' αὐτῆ μὴ ἀναζητείσθω. εἰ δὲ ἡ Ἐπισκοπὴ (2) ἐχήρευεν Ἐπισκόπυ, δύναται ὁ μετὰ ταῦτα Ἐπισκοπήσας ζητῆσαι αὐτόν. ὁμοίως δύναται ἢ ἀπὸ τῆ Δονάτε ἐπισραφεὶς Ἐπίσκοπος, εἰ τέτῳ ἀνῆκε, ἀναζητῆσαι αὐτόν.

ΚΑΝΩΝ ΡΑ'. (β)

134. Μηδεὶς Ἐπίσκοπος, ἀνήκειν νομίζων τῷ θρόνῳ τῷ ἑαυτῆ λαόν τινα ὑπὸ ἑτέρυ Ἐπισκόπυ κατεχόμενον, ἐπεμβαινέτω τῷ αὐτῷ Λαῷ, ἄνευ κρίσεως Ἐπισκόπων, καί τοι τῆτον ζητῆντι. ἐκείνως γὰρ ποιήσας, ἢ εἰ δίκαιον ἐπ' ἐκείνῳ εἶχον, ἐκπεσεῖται τέ τυ. ὡσαύτως δὲ ἐκπεσεῖται ἢ εἰ παρὰ τῆ Μητροπολίτε μὲν γράμματα περὶ τῆ κατέχειν τὸν τοιῆτον Λαὸν ἔλαβον (3), ὁ μὴν δὲ ἢ ὁ κατέχων (4) εἰρηνικῶς διὰ γραμμάτων αὐτῷ ἐπέτρεψε τὴν κατάσχεσιν. Ἐὰν δὲ κἀκεῖνος (5) ἀντεναγάγῃ, Ἐπίσκοποι ἢ τότε κρινέτωσαν, ἢ ἓς ὁ πρωτεύων δῶ, ἢ ἓς γειτνιῶντες κατὰ συνοίνεσιν (6) ἐπιλέξωνται.

ΚΑΝΩΝ ΡΛΑ'. (γ)

135. 136. Ἐπίσκοποι ἀμελήσαντες τῶν ἀνηκόντων τόπων (7) τῇ αὐ-

(α) Τῆς δ'. ιζ'. Καρθαγόνης νέ. ρκή. ρλ'. (β) Τῆς δ'. ιζ'. Καρθ. ρκθ'. (γ) Ἀποσ'. νή. Σαρδικ. ιά. Καρθ. ις'. ρέ.

(1) Καθολικοί εἰσιν, οἱ ἀπ' ἀρχῆς ὀρθόδοξοι. ὅρα δὲ ἔτω καθολικὴν καλεμένην τὴν ὀρθόδοξον Ἐκκλησίαν ἢ ὡ τῷ, ἡ. τῆς α'.

(2) Εἰς ἣν λέγεται ἀνήκειν τὸν τόπον αὐτὸν, εἴτ' ἂν τὸν ὡ αὐτῷ λαόν.

(3) Οὐδὲ γὰρ τῆτο αὐτὸν ἐνίνησιν. (4) Ὁ τέως δηλ. κατέχων Ἐπίσκοπος. (5) Ὁ ἀγόμενος δηλ. (6) Τῶν ἀντιδίκων.

(7) Ὁ Ζωναρ. τὴν λέξιν, τῶν τόπων, συγκεχυμένως, ἤγεν ὁμῆ μετὰ τῶν

τῇ αὐτῶν καθέδρᾳ πρὸς τὸ τότε κερδᾶναι πρὸς τὴν καθολικὴν ἑνότητα (1), ἐγκληθήτωσαν (2) παρὰ τῶν γειτνιώντων Ἐπισκόπων. ἐξ ὅτου, ἐὰν μετὰ ἓξ μῆνας μηδὲν ἀνύσωσι (3), προσκρωθήτωσαν (4) οἱ τοιοῦτοι τόποι τῷ δυναμένῳ τότε κερδάναι (5). εἰ μή διά τινα οἰκονομίαν (6) ἔδοξαν ἐκείνων ἀμελεῖν, τοῦτο τῶν αἱρετικῶν ἐπιλεξαμένων, ὥστε ἀθορύβως αὐτοὺς παραδέξασθαι καὶ ἐν τοσούτῳ ἡ αὐτοῦ ἐπιμέλεια ἀπὸ ἑτέρου προελήφθη (7), ἢ τινι εἰ κατεχρήσατο, τοὺς αὐτοὺς αἱρετικοὺς πλέον ἐκάκιζων. ὅπερ κρινέτωσαν Ἐπίσκοποι διοριζόμενοι παρὰ τοῦ Μητροπολίτου. εἰ δὲ κατὰ κοινὴν συναίνεσιν (8) ἐπιλεγῶσιν οἱ κρινοῦντες, τρεῖς ἔστωσαν, ἢ εἷς. ὥστε, ἢ τῇ τῶν ὅλων ψήφῳ ἀρεσθῆναι, ἢ τῇ τῶν δύω (9). ὁ δὲ μὴ πειθαρχῶν τοῖς αἱρετοῖς Κριταῖς, ἔστω ἀκοινώνητος τοῖς ἄλλοις

τὰ τῶν λαῶν ἐξέλαβε λέγων. „ Εἴ τινες Ἐπίσκοποι ἀμελῶσι τῶν τόπων τῶν ἀνηκόντων ταῖς Ἐκκλησίαις αὐτῶν, πρὸς τὸ αὐτοὺς κερδᾶναι, „ ἀντὶ τοῦ ὥστε αὐτοὺς ἐνικῆσαι ἢ ἔχειν, κξ'. κατεχομένους δηλον. ὑπὸ τῶν αἱρετικῶν. ὁ δὲ Βλάσαρις ἀφρημόνως, ἦγεν τοὺς λαοὺς μόνους ἀντὶ τῶν τόπων ὠόησεν, ἴσως εἰκάσας τοῦτο ἐκ τῆς ἐπιγραφῆς τοῦ κατὰ πλάτος Κανόνος. „ ὅθεν λέγει, τοῖς καθολικωτέροις τῶν οἰκείων ποιμνίων Ἐπισκόποις, „ ἢ μὴ διδάσκουσι τὰ σωτήρια, εἴτ' οὖν εἰς τὸ σῶσαι αὐτούς, κξ'.

(1) Τὴν ὀρθόδοξον Σύνοδον, ἢ κρεῖττον, Ἐκκλησίαν. (ὅρα τὸν κατωτέρω Κανόνα). (2) Αἰτιαθήτωσαν εἰς τὴν Σύνοδον, ἢ κρεῖττον, ὑπομιμνησκέσθωσαν μετὰ ἐλεγμοῦ παρὰ τῶν γειτνιόντων (ἵνα ἡ χωρὶς τοῦ, ἐγκληθήτωσαν ῥῆμα ἀπὸ τοῦ ὀνόματος τῆς ἑνότητος).

(3) Μείναντες εἰς τὴν αὐτὴν δηλαδὴ ἀμέλειαν.

(4) Προσαπονεμείσθωσαν, προσεθείσθωσαν.

(5) Δῆλον ὅτι Ἐπισκόπῳ κατ' αὐτῷ. (6) Ἡ δὲ οἰκονομία ἔστιν αὕτη. οἱ αἱρετικοὶ Ἐπίσκοποι συμφωνοῦντες τοῖς ὀρθοδόξοις διὰ τῆς ἐπιστροφῆς, συνεβούλευον τούτοις τοῖς ὀρθοδόξοις κατὰ μικρὸν γενέσθαι τὴν μεταβολὴν τοῦ αἱρετικοῦ λαοῦ, ἵνα μὴ θόρυβος γώνηται. ὁ δὲ Βλάσαρ. λέγει. εἰ δὲ δι' οἰκονομίαν τινὰ τὴν σιγὴν εἵλοντο (οἱ δοκοῦντες ἀμελεῖν ἐπίσκοποι) κξ'. (7) Ἦγεν ἄλλος Ἐπίσκοπος προέλαβε ἢ ὠκοισποιήσατο ἑαυτῷ τοὺς τοιούτους τόπους. (8) Ἀμφοτέρων δηλαδὴ τῶν περὶ αὐτῶν τῶν τόπων ἐριζόντων Ἐπισκόπων. (9) Εἴγε δηλαδὴ ἢ οἱ τρεῖς ὁμοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλοις Ἐπισκόποις.

ΚΑΝΩΝ ΡΛΒ'. (α)

137. Εἰ ἐν ταῖς καθέδραις (1) Ἐπίσκοπος ἀμελὴς γένηται κατὰ τῶν αἱρετικῶν, καὶ μὴ Φροντίσῃ τῶν ὀφειλόντων πρὸς τὴν καθολικὴν ἑνότητα ἐπισραφῆναι (καί τοι ἐν τῇ αὐτῇ Ἐπαρχίᾳ διάγων, καὶ περὶ τούτου ὑπομιμνησκόμενος παρὰ τῶν γειτνιώντων Ἐπισκόπων), μετὰ ἓξ μῆνας τῆς ὑπομνήσεως, ἀκοινώνητος ἔσω. ἐκτὸς εἰ μὴ ὁ ἐπεξεργασὴς (2) ὁ πάρεσιν εἰς τοὺς τοιούτους τόπους.

ΚΑΝΩΝ ΡΛΓ'. (β)

138. Εἰ ἂν δὲ ὁ τοιοῦτος ψεύδηται ὅτι ἐκοινώνησαν οἱ αἱρετικοὶ (3) ἢ ἐκοινώνησαν μὲν, ὁ μὴν δὲ τῇ ἐκείνου συνειδήσει (4), καθαιρεῖται.

ΚΑΝΩΝ ΡΛΔ'. (γ)

139. Εἰ ἂν Κληρικοὶ αἰτιώμενοι, περὶ τῆς ψήφου τοὺς ἰδίους Ἐπισκόπους μέμφωνται, οἱ γειτνιῶντες Ἐπίσκοποι τὰ μεταξὺ τούτων περατώσουσιν, οἱ παρ' αὐτῶν (5) κατὰ συναίνεσιν τῶν ἰδίων Ἐπισκόπων προσλαμβανόμενοι. εἰ δὲ μὴ ἀπ' αὐτῶν θέλωσιν ἐκκαλέσασθαι, ταῖς ἐν Ἀφρικῇ Συνόδοις δικαζέσθωσαν. ἢ πρὸς τοὺς Πρωτεύοντας τῶν αὐτῶν Ἐπαρχιῶν. ὁ μὴν δὲ μὴ πέραν τῆς Θαλάσσης (6). ἔσονται γὰρ ἔτως ἀκοινώνητοι τῇ τῆς Ἀφρικῆς Συνόδῳ.

(α) Ἀπος'. νή. Σαρδικ. ιά. (β) Ἀπος'. νή. Σαρδικ. ιά.
(γ) Τῆς β'. ς'. τῆς δ'. θ'. Καρθ. ιά. λς'.

ὁμῶς μὴ συναινέσωσιν. ὅρα περὶ τῶν αἱρετῶν κριτῶν ἡ Καν'. ις'. τῆς αὐτῆς ἡ τὴν σημείωσιν.

(1) Οὐ μόνον τοὺς ἄλλους τῶν αἱρετικῶν τόπους ἐπισρέψαι Φροντιτέον τοῖς Ἐπισκόποις, κατὰ τὸν ἀνωτ'. Καν'. ἀλλὰ ἡ αὐτὰς τὰς ἐκείνων καθέδρας, ἔτ' ὢν Μητροπόλεις.

(2) Ὁ ὑπεξεργασὴς ἴσως ἔστιν ὁ ἔκδικος, ἡ ἐκβιβασὴς, περὶ ὧν πλαλαμβάνουσιν ὁ, ρς'. ἡ ρξ'. ὃς ἐζήτησαν οἱ Πατέρες παρὰ τοῦ Βασιλέως. ἐκείνῳ γὰρ, τῷ ἐπεξεργασῷ δηλαδὴ ὠδημῶντος, ἀναγκασθήσονται ἡ ἄκοντες οἱ αἱρετικοὶ ἀπολογηθῆναι.

(3) Οἱ Δοναπισαὶ δηλαδὴ τῇ καθολικῇ ἑνότητι.

(4) Μὴ εἰδότος αὐτοῦ, μηδὲ σπεδάζοντος.

(5) Οἱ παρ' αὐτῶν τῶν δικαζομένων ἐπιλεγόντες ἐκκλησιάρχαι ἔσονται.

(6) Πέραν τῆς θαλάσσης ὠνόηται πρὸς τοὺς τῆς Ἰταλίας Ἐπισκόπους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νόδῳ.

ΚΑΝΩΝ ΡΛΕ΄. (α)

140. Παρθένες ἐὰν ἐξ ἀνάγκης, ἤτοι δυνάσᾳ τινὸς ἐρασῆ, ἢ θανατηφόρᾳ κινδύνᾳ ἐπιπεσόντος, καλύψῃ (1) τις Ἐπίσκοπος διὰ τῆ σχήματος ἑαυτὸς χεῖρας ἐνιαυτῶν, κέ. παρ' ἡλικίαν (2), (παρακαλέντων δηλονότι, ἢ τῶν γονέων αὐτῶν, ἢ τῶν Φροντιστῶν.) βλαβήσεται.

ΚΑΝΩΝ ΡΛΣ΄.

141. Περὶ τῆ μὴ κατέχεσθαι ἐπὶ πολὺ πάντας τὸς Ἐπισκόπους παρὰ τῆς Συνόδᾳ, ἀλλ' ἐπιλεγῆναι ἀνὰ τρεῖς ἐξ ἑκάσης Ἐπαρχίας (3).

ΚΑΝΩΝ ΡΛΖ΄. (β)

142. Ὅτι ᾳ δεῖ τὸς ἐν ἀφορισμῷ ἔτι ὄντας, δεχθῆναι ἐπὶ κατηγορίᾳ (4).

ΚΑΝΩΝ ΡΛΗ΄. (γ)

143. Οὔτε μὴν τὸς δήλυς, ἢ ἀπελευθέρυς, ἢ ὡς οἱ δημόσιοι νόμοι ᾳ προσδέχονται. ἔτι μὴν ἢ τὸς ἀτίμυς, οἷον μίμυς (5), ἢ τὸς κατ' αὐτὸς, ἢ αἱρετικὸς. πλὴν εἰ ἔχεσιν ἰδίας αἰτίας οἱ τοιῦτοι. προσδεχθήσονται γὰρ τότε εἰς κατηγορίαν.

ΚΑΝΩΝ ΡΛΘ΄. (δ)

144. Κατήγορος ὁ μὴ τὸ πρώτως τῶν κατὰ Κληρικῆ ἐγκλημάτων ἐξετασθὲν δυνηθεὶς ἀποδεῖξαι, πρὸς τὰ λοιπὰ ἀπρόσδεκτος ἔσω

(α) Τῆς ά. ιθ΄. Καρθ. νά. ς΄. τῆς δ΄. ιέ. τῆς ς΄. μ΄. μέ. Βασιλ΄. ιή.
(β) Ἀπος΄. οδ΄. ρέ. τῆς β΄. ς΄. τῆς δ΄. κά. Καρθ. ή. κζ΄. ρλή. ρλθ΄.
(γ) Καρθαγώνης ρλζ΄. ρλθ΄. (δ) Καρθ. ρλή.

(1) Ἐνδύσῃ τὸ μοναχικὸν σχῆμα.
(2) Ἐκ νέας αἱ τοιαῦται ἀδιαιρέτως τῷ Θεῷ, χωριζόμεναι τῶν γονέων, ἢ προσαγόμεναι ταῖς Ἐκκλησίαις, ὡ ὑποσχέσει τῆ παρθενεύειν, (ὅρα τὸν ς΄. ταύτης) ἕ πω μνήστοι ἢ ἐκέροντο ἕως τῆ, κέ. ἐνιαυτῆ· κατὰ ταύτην τὴν Σύνοδον. κατὰ δὲ τὸν μέγ. Βασιλ΄. (Κανόν. ιή) ἕως ἐνιαυτῆ, ιζ΄. κατὰ δὲ τὴν πανθέκτην Σύνοδ. (Κανόν. μ΄.) ἕως τῆ ί. ἔτες.
(3) Εἰς τὸ ἐξετασθῆναι τὰ λοιπαζόμενα ζητήματα μετὰ τῆ Καρχηδόνος. (4) Ἐπὶ κατηγορίᾳ δηλαδὴ Ἐπισκόπων ἢ Κληρικῶν (Ζωναρᾶς). (5) Διὰ τῶν μίμων τὸς σκηνικὸς πάντας ἐδήλωσε. ἢ ὁρατὰς τῆς σκηνῆς ὡ τῇ σημειώσει τῆ, κδ΄. τῆς ς΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔξω.

ΚΑΝΩΝ ΡΜ΄. (α)

145. Ὅσα ἀνωτέρω (1) πρόσωπα εἴπομεν ἀπρόσδεκτα εἰς κατηγορίαν, τὰ αὐτὰ ὅτε εἰς μαρτυρίαν προσδεκτέα. ὅτε μὴν οἰκιακὸς ὁ κατήγορος μάρτυρας παραγαγέτω, ἀλλ' οὐδὲ τοὺς πρὸ τῶν δεκατεσσάρων ἐνιαυτῶν (2).

ΚΑΝΩΝ ΡΜΑ΄. (β)

146. Ὁ λέγων Ἐπίσκοπος ὅτι, ἐπειδὴ ὁ δεῖνα ὡμολόγησέ μοι (3) κατὰ μόνας ἁμάρτημα, διὰ τοῦτο οὐ κοινωνῶ, (ἀρνεμένου δηλονότι ἐκείνου) μὴ λογιζέσθω εἰς ὕβριν ὅτι μόνος οὐ πιστεύεται. ἀλλὰ καὶ ἀκοι-

(α) Καρθ. ρλζ΄. (β) Ἀποστ. λϛ΄. σημ΄.

(1) Ἐν τῷ, ρλζ΄. ρλή. ροθ΄. (2) Οὗτοι δέ εἰσιν οἱ ἄγνωστοι.

(3) Τὰς ἐπὶ τῶν Ἐπισκόπων, ἢ ἀθέα τούτων, ἐπὶ τῶν Ἱερέων γινομένας ἐξαγορίας, δέον γίνεσθαι κατ' εἶδος (Χρυσοστ. τόμ. ιϛ΄. σελίδ. 289. 290. καὶ τόμ. Ϛ΄. σελ. 667.). ὅρα καὶ Ἰωάν. τῆς Κλίμακος, σελ. 46. περὶ ὑπακοῆς). ἐξαγορεύων γάρ τις γνησίως τὸν Φόνον, Φέρ' εἰπεῖν, ὀφείλει ὁμολογῆσαι ὅτι καὶ ἑκούσιος τυχὸν ἐγένετο. καὶ ὅτι πρὸς ἄρχοντα ἴσως, ἢ Ἱερὸν ἄνδρα, ὁπότε καὶ τὸ ἐπιτίμιον ὁρισθήσεται σφοδρότερον. τοῦτο δὲ τὸ κατ' εἶδος ἐξαγορεύεσθαι, ἀπείργεται πρὸς Θεόν. ὅρα Μάρκ. ὠ τῇ Φιλοκαλ΄. (κεφ. ρνϚ. καὶ Πέτρε χαρτοφύλακος τόμῳ Ϛ΄. τῶν Συνοδικῶν σελ. 1003. ἀποκρίσει ἐσχάτῃ). Ἐὰν δὲ ὁ μετανοῶν ἐν καταλέξῃ τὰ κατ' αὐτὸν ἁμαρτήματα, ἢ κατ' ἄγνοιαν, ἢ δι' αἰδῶ, ὀφείλει ὁ ἀναδεχόμενος αὐτὸ τοῦτο ποιεῖν (καὶ ὅρα ἐγχειρίδιον, πνευματικὸς διδασκόμενος, ἐπιγραφόμενον, σελ. 32. 33.) ἐπεὶ καὶ ὁ Ἱερὸς Αὐγουστῖνος οὕτω διδάσκων φησίν. „ ὁ ἐπιμελὴς ἐρευνητὴς, καὶ λεπτὸς ἐξε-„τασὴς, σοφῶς καὶ οἱονεὶ πανούργως ἐρωτᾷ τὸν μεταννοοῦντα ὁ τυχὸν ἠγνόει, „ἢ δι' αἰδὼ ἤθελεται κρύψαι. Καὶ ἡ Σαμαρίτης γὰρ μεγάλως ἀπώνατο, καίτοι οὐκ ἀφ' ἑαυτῆς, ἀλλὰ παρὰ τοῦ Δεσπότου τὰ ἴδια ἐπύθετο πταίσματα, καὶ τὸ ὅλον εἰπεῖν, ἐπὶ τοιούτῳ τοῦ μὴ οἴκοθεν ἐξαγγέλοντος τὰ ἑαυτοῦ, καλὸν τὸ μόνα ταῦτα ἀποκρίνεσθαι τῷ πνευματικῷ Πατρί. Ναὶ Πάτερ οὐχὶ Πάτερ. ἐπὶ δὲ τῶν ἄλλων, οὐκ ἐφαρμόσει ὁ αὐτὸς τρόπος. Ἐνταῦθα δὲ τοῦ λόγου γνωμονίοις οὐχ οἷον καὶ τὰ ἐξ περισσικὰ παραθεῖναι ἄπτα εἰς Γεώργιον τὸν Κορέσιον οἱ πολλοὶ ἀποδιδοῦσιν. ἐφ' οἷς πολυπραγμονεῖν τοὺς μετανοοῦντας οἱ προσδεχόμενοι αὐτοὺς πνευματικοὶ ὀφείλουσιν, εἰσὶ δὲ ταῦτα. τίς, τί, πότε, πῦ, πῶς, καὶ διατί. τούτων οὖν τὸ μὲν

ἀκοινώνητος ἔσω τοῖς ἄλλοις Ἐπισκόποις, ἐφ' ὅσον τῷ ἀφωρισμένῳ παρ' αὐτῶ ὁ κοινωνεῖ, ἵνα μὴ λέγῃ κατά τινος, ὃ ἐλέγξαι (1) ὁ δύναται.

OI

τὸ μὲν τίς, ἤγουν τὸ πρόσωπον, ἤτοι ὡρισμένως, ἔστ' ἂν ἰδιωτικῶς νοῆται, οἷον Πέτρος, Παῦλος, ἢ σχετικῶς, ἢ ἔτως, ἢ Φύσει ἢ τέχνῃ, ἢ προαιρέσει, ἢ τύχῃ. πλέον ἂν ἁμαρτάνει τῶν ἄλλων, ἤτοι ὁ υἱὸς, ἢ ὁ μαθητὴς, ἢ ὁ ἀρχόμενος, ἢ ὁ Φίλος, ὑβρίζων, ὁ μὲν, τὸν ἴδιον Πατέρα, ὁ δὲ τὸ ἴδιον διδάσκαλον. ἢ ὁ μὲν, τὸν ἄρχοντα. ὁ δὲ, τὸν Φίλον ἑαυτῶ. τὸ δὲ τί, ἤγουν τὸ πρᾶγμα. αὔξει ἢ αὐτὸ τὴν ἁμαρτίαν κατ' εἶδος διαφέρουσαν ἑτέραν τῆς ἑτέρας, οἷα μείζων ὁ Φόνος τῆς κλοπῆς. κἀν ὡσαύτως ἢ κατὰ τὸ πῶ, πλέον ἁμαρτάνει ὁ Φονεύων, ἢ κλέπτων ὡ Ἐκκλησίᾳ, παρὰ τὸν ταῦτα ποιοῦντα ὡ τῷ τυχόντι τόπῳ. ἢ κατὰ τὸ πότε δὲ, δῆλον ὅτι, λειτουργίας τελουμένης, ἀξιοῖ ζεσθαί τινα μεῖζον τὸ παράπτωμα τῶ κατ' ἄλλην ὥραν εὐτραπελίζεσθαι. Καὶ τὸ πῶς, ἔστ' ἂν ὁ τρόπος αὔξει, ἢ μειοῖ τὴν Φαυλότητα. ὁ γὰρ ἐκούσιος ἁμαρτάνων, μᾶλλον παιδεύεται τῶ ἀκουσίῳ. τὸ αὐτὸ ἢ οὐ τῷ, διατὶ ταύτον εἰπὼν, οὐ τῷ ἔσχατα ἕπεται. ὡς ὅγε διαχειρισάμενος τύραννον ἵν' αὐτὸς μοναρχήσῃ, μεῖζον ἥμαρτον, ἢ ὅς ἵνα τὴν πόλιν τῆς τυραννίδος ἀπαλλάξῃ. Ἔνιοι δὲ, ἢ τὸ, ποσάκις ἐπὶ τῶν ἐξαγορευόντων περιεργάζεσθαι ἐθέλουσι. μεῖζον γὰρ οὐέχετι ὁ πολλάκις ταὐτὸ ἐξαμαρτήσας τῶ ἅπαξ προσκρούσαντος. Διττὴ δὲ ἡ ἁμαρτία. ἡ μὲν προπατορικὴ, ἡ δὲ προαιρετικὴ ἢ προσωπική. καὶ ἐκείνη μὲν, δαλύεται διὰ τῶ ἁγίου βαπτίσματος. αὕτη δὲ, δὰ τῆς μετανοίας. ἥ τε μετάνοια αὕτη, διττὴ πέφυκεν. ἤτοι ἄμεσος πρὸς μόνον τὸν Θεόν. ἢ ἔμμεσος, δὰ πνευματικῶ Πατρὸς. ἢ τῆς ἐμμέσου ταύτης μέση τρία. συντριβὴ καρδίας δὰ τὴν ἁμαρτίαν. Ἐξομολόγησις ἔστ' ἂν δὰ στόματος Πνευματικῶ Πατρὶ ἀπαγγελία τῆς ἁμαρτίας, ὡ ἐπιλυκρινεῖ πρὸς αὐτὸν τὸν πνευματικὸν ὑποσχέσει τῆς ἀγαθῆς πράξεως ἢ ἱκανοποίητις, τυτέστι πλήρωμα ἐγχρόνε ποινῆς ὀφειλομένης Θεῶ ἐπὶ τῇ λύσει τῆς ἁμαρτίας, κατὰ τὴν ἐκείνης ἀναλογίαν. ἐπεὶ γὰρ ἡ ἁμαρτία ἢ σέρησιν τῆς τῦ Θεῦ χάριτος ἐργάζεται, ἢ τιμωρίαν ὐ τῷ ἄλλῳ βίῳ αἰώνιον, ἡ ἱκανοποίητις ἀμφότερα θεραπεύει. ὅταν δὲ πολλὰ ἢ τὰ ἁμαρτήματα, τῷ κορυφαιοτάτῳ αὕτη ἐπιτιθέσθω μόνῳ. δὰ δὲ τὸ τρισσῶς ὠεργεῖσθαι τὴν ἁμαρτίαν, ἔργῳ, λόγῳ, ἢ διανοίᾳ τρισσῶς ἐπιδέχεται ἢ τὴν ἴασιν, Ἐλεημοσύναις πρὸς τὰς δεομένας ἢ κακοπαθείαις τῦ σώματος. Προσευχαῖς ἢ εὐχαριστίαις πρὸς τὸν Θεόν. Ἀγάπῃ ἢ ταπεινώσει πρός τε αὐτὸν, ἢ πρὸς τὸν πλησίον.

(1) Οὐ μόνον δὰ τὸ μὴ δύνασθαι ἐλέγξαι, ὀφείλει μὴ λέγειν τι κατά τι-

ΟΙ ΙΕΡΟΙ ΚΑΝΟΝΕΣ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ, ΚΑΝΟΝΕΣ ΤΕΣΣΑΡΕΣ.

Προθεωρία περὶ τοῦ αὐτοῦ ἁγίου.

Ὁ Ἅγιος Διονύσιος ἀκροατὴς ἐγένετο ὠριγένους ἐν τῷ Δ'. τῆς Βασιλείας ἔτει Φιλίππου, ὃς μετὰ τὸν Γορδιανὸν ἐβασίλευσεν, ἐχρημάτισε δὲ τεσσαρεσκαιδέκατος τῆς Ἀλεξανδρείας Ἐκκλησίας Ἐπίσκοπος, ἔσχε δὲ προκάτοχον ἑαυτοῦ τὸν Ἡρακλᾶν, ὡς Φησιν ὁ Βλάσαρις (1). ἐξώρισε δὲ ἡ ὑπὸ τοῦ Δεκίου. ἡ ὑπὸ τοῦ Οὐαλεριανοῦ διὰ τὴν πίστιν. ἡ ἐλιθοβολήθη, ἡ πάλιν ἀνεκλήθη εἰς Ἀλεξανδρείαν (2). ὁ δὲ Βασιλίδης, πρὸς ὃν ἡ Κανονικὴ αὕτη Ἐπιστολή, Ἐπίσκοπος ἦν τινος κατὰ τὴν πενταπόλιν παροικίας.

ΚΑΝΩΝ Α'. (α)

Ὅτι ἄδηλον τὸ ἐν ποίᾳ ὥρᾳ τῆς νυκτὸς ἀνέστη ὁ Κύριος. ἡ ὅτι οἱ μετὰ τὸ μεσονύκτιον (3) διὰ τὴν ἐπὶ τῇ τοῦ Κυρίου ἡμῶν ἐκ νεκρῶν

(α) Τῆς ς'. πθ'. ὥρα ἡ τὴν εἰς αὐτὸν τὸν τῆς ς'. πθ'. σημείωσιν.

τά τινος ὁ δεχόμενος πνευματικῶς λογισμούς, ἀλλὰ ἡ διὰ τὴν σύστασιν τοῦ Μυστηρίου τῆς ἐξομολογήσεως, ἀνατρέπεται γὰρ τοῦτο, εἴγε μὴ Φυλάττοιντο ἀνέκπυστα τὰ ἐξαγορευόμενα. Διά τοι τοῦτο ἡ ὁ Πατριάρχης Λεόντιος ὡς Φησιν ὁ Βαλσαμὼν (ὡ αὐτῷ τούτῳ τῷ Κανόνι) ἀλειτουργησίᾳ ἐπαίδευσε τὸν Ἡγούμενον Μονῆς τοῦ γηροτροφείου, ἀλὰ τὸ ἐξιπεῖν ἁμάρτημά τινος τῶν αὐτῷ ἐξομολογησαμένων.

(1) Ἐν τῇ ἀρχῇ τοῦ Νομοκανόνος αὐτοῦ. (2) Ὅρα Εὐσέβιον Παμφιλ'. Ἐκκλησιαστικ. Ἱστορ'. βιβλ'. ξ'. κεφ. δ'. ε. (περὶ τὸ τέλος). ἡ ἰδὲ ἡ βιβλ'. ς'. κεφ. μς'. Κάβε, τόμ. ά. σελ. ρκδ'. Ἄθρει ἡ Μελέτιον Ἀθηνῶν Ἐκκλησιαστικῆ Ἱστορίαν τόμ. ά. σελ. 248.

(3) Ἡ ἡμέρα ἀπὸ ζ'. ὥρας τῆς νυκτὸς ὁρίζεται, μέχρι τῆς ς'. ὥρας τῆς ἑ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νεκρῶν Ἀνασάσει χαρὰν, ἀπονηστζόμενοι, ἀκατηγόρητοι.

ΚΑΝΩΝ Β'. (α)

Τὰς ἐν ἀφέδρῳ (1) γυναῖκας, μὴ εἰσιέναι (2) εἰς τὸν οἶκον τοῦ Θεοῦ, ἢ τολμῆσαι τῇ τραπέζῃ τῇ ἁγίᾳ προσελθεῖν, ἢ μεταλαβεῖν, ἐπεὶ καὶ ἡ ἐν Εὐαγγελίοις αἱμορροοῦσα, μόνα τοῦ κρασπέδου τοῦ Δεσποτι-

(α) Τιμοθ'. ς'. ζ'. Λαοδ. μδ'.

τῆς ἑπομένης τῆς νυκτὸς, καὶ τὸ γινόμενον ὡς οἱαδήποτε ὥρα τῶν κδ'. ὡρῶν, ὡς ἡμέρα δεκτὴ γίνεσθαι (Νόμος παρὰ Βλάσαρ. εἰς τὸ, ἡ. κεφ. γ'.) Ἡ δὲ χριστιανικὴ ἐποχὴ, καθ' ἣν εἰώθαμεν μετρεῖν τὰ ἔτη, καὶ σημειοῦν ὡς τοῖς ὑπομνήμασιν ἀπὸ τῆς Χριστοῦ γεννήσεως, ἡ τοιαύτη λέγω ἐποχὴ, ἄρχεται ἀπὸ τῆς α'. Ἰανουαρίου (Μελέτ. Ἀθηνῶν Ἐκκλησιαστικὴ Ἱστορία, τόμ. α'. σελ. 98.).

(1) Λέγονται ὡς Ἀφέδρῳ, διὰ τὸ κεχωρίσθαι αὐτὰς τῆς τῶν λοιπῶν γυναικῶν ἔδρας ὡς ἀκαθάρτους, ὅταν ὡς τοιούτοις ἐπιμηνίοις ὡσι. διὸ καὶ αἱ Ἕδραι ἑπταήμεροι ὡς ἰδίῳ τόπῳ ἐκάθηντο ἡσυχάζουσαι (Λευϊτ. ιε'. 19. 25. (2) Διάκονοι γυναῖκες τοπάλαι χειροτονούμεναι, εἰσήρχοντο εἰς τὸ ἅγιον Βῆμα (ὅρα καὶ τὴν ὑποσημ. τοῦ ιε'. Κανόνος τῆς δ'.) ὕστερον δὲ φασι διὰ τὴν τῶν ἐμμήνων ἀπρόοπτον ῥύσιν, καὶ ἀπὸ τοῦ τὴν ὑπηρεσίαν ταύτην ἐκτελεῖν (τὴν τῆς διακονίας δηλαδὴ), καὶ ἀπὸ τοῦ, εἰς τὸ ἅγιον Βῆμα εἰσιέναι κεκώλυνται. καὶ ἀπὸ τούτων μὲν, πάντοτε. ἀπὸ δὲ τοῦ Καθολικοῦ τῆς Ἐκκλησίας ἀπέργονται μόνον, ὅτε ὡς τῇ ῥύσει εἰσὶ τοῦ αἵματος. καὶ τότε ὲ διὰ τὸ ἀκαθάρτους αὐτὰς τῷ ὄντι ὑπάρχειν, ἀλλὰ διὰ τὸ ὕτως νομίζεσθαι ὑπὸ τῶν ἄλλων, ὡς δυσωδίας ἐμποιοῦσας τοῖς συνδιατρίβουσι καὶ συμπροσευχομένοις. ὀνομάζει δὲ ἀκαθάρτους τὰς ὡς ἀφέδρῳ καὶ ὁ Νόμος, ἵνα μηδεὶς ταῖς τοιαύταις συνάπτηται. Φασὶ γάρ τινες, καὶ λώβην, καὶ λέπραν γεννᾶσθαι ἐκ τῆς ὡς τῷ τοιούτῳ καιρῷ συναφείας (Θεοδωρήτου ὡς τὴν Σειρὰ τῆς θείας Γραφῆς. τόμ. α'. σελ. 1062. καὶ σελ. 1058.). διὰ τοῦτο καὶ τῶν συναπτομένων ὡς τοιούτῳ καιρῷ. ἐξολοθρεύεσθαι τὰς ψυχὰς ἀμφοτέρων, νομοθετεῖ ὁ Θεὸς, ἐκ τοῦ λαοῦ αὐτῶν. (Λευϊτ. ιη'. 19. 29.) ὅρα καὶ Φίλωνα τῶν Ἰουδαίων ὡς τὴν Σειρὰ σελ. 1082. τόμῳ α'.). προσαγορεύονται δὲ ἀκάθαρτοι ἔτι αἱ τοιαῦται γυναῖκες, καὶ ἵνα ἀνακωχὴ γίνηται τῆς ἡδονῆς (αὐτόθ. σελ. 1058.), καὶ ἵνα ἀναπαυθῇ πρὸς καιρὸν ἡ τέως ταῖς ὠδῖσι κατατρυχωθεῖσα (αὐτόθ. σελίδι, 1028 καὶ 1029.) ὐδὲ γὰρ τὰ αἵματα ἕτοιμον ἀκάθαρτα, ἐξ ὧν ἄνθρωποι συνίστανται (ὅρα τὸν αὐτὸν Θεοδωρητ. ὠθεν ἀνωτέρω, σελ. 1057. καὶ 1059. Ε. Ζ.).

Καὶ αἱ

σποτικῶ ἔθιγε. προσεύχεσθαι δὲ αὐτὰς, ὅπως ἂν ἔχωσιν (1) ἀ-
νεπίφθονον.

ΚΑΝΩΝ Γ'. (α)

Τὰς γεγαμηκότας (2) ἀπέχεσθαι ἀλλήλων ἐκ συμφώνου (3) πρὸς
καιρὸν

(α) Τῆς ς'. ιγ'. Τιμοθέου, έ.

Καὶ αἱ Διαταγαὶ δὲ Ἀποστόλων βιβλ'. ς'. κεφ. κς'.) ἐδοὺ θέλουσι τῶν καθ' φύσιν ἀκαθάρτων κυρίως εἶναι (ὅρα τὸν αὐτὸν Θεοδώρητ. ἐνθα ἀνωτέρω, σελ. 1058. Ε.), οἷόν ἐστι, ἡ τὸ ἐκκρινόμενον σπέρμα μὴ ἐμπαθῶς ῥυὲν (Ἀθανασίου Κανών, ά.). Ἐπεὶ δὲ ἐμνήσθη μου ἀνωτέρω Καθολικῆς τῆς Ἐκκλησίας, ἐπάγομεν τὸν Βαλσαμῶνα ὕστω λέγοντα " Ὁ πρόναος οὐκ ἔστι κανὼς ὡς τὸ προαύλιον τῶν Ἐκκλησιῶν, ἀλλὰ μέρος αὐτῶν, ἀπονεμηθὲν ταῖς γυναιξὶ ταῖς μὴ κεκωλυμέναις Ἐκκλησιάζειν, ὃς δὴ πρόναος, ἡ Νάρθηξ καλεῖται. ἔξω τῆς Ἐκκλησίας κείμενος (κατὰ τὸν Ζωναρ. ἐξηγήσει τοῦ, ιά. τῆς ά.), ἡ προπύλαια (ὅρα ἡ Σκρεβέλιον λεξικὸν ὠτῷ, templi vestibulum ἡ πάλιν χωρὶς ὠτῷ, vestibulum ἡ τόπος δεύτερος ὑπάρχει μετανοίας, ὁ τῶν ἀκροωμένων λεγόμενος, ἡ ὠ αὐτῷ δὲ ἀνδράσιν ἐφεῖται εἶσασθαι, ἐπιτιμηθεῖσι μὴ ἐκκλησιάζειν.

(1) Καθ' ἑαυτὰς δηλαδὴ ἡ κατὰ μόνας.

(2) Ἐν ἄλλοις ἀντιγράφοις, γεγηρακότας, κεῖται.

(3) Πρὸς καιρὸν δέον ἀπέχεσθαι ἀλλήλων τὰς τοιούτους ἐκ συμφώνου. ἡ ὅτε ἄκοντος τοῦ ἀνδρὸς ἐγκρατεύεσθαι τὴν γυναῖκα, ὅτε μὴ ἐκλομένης τῆς γυναικὸς, τὸν ἄνδρα. ἑκάτερος γὰρ ἐξουσιάζει τοῦ ἰδίου σώματος, κατὰ τὸν Ἀπόστολον (ά. Κορινθ'. ζ'. 4.). εἰ δὲ ἄκοντες θατέρου τοιοῦτόν τι γένηται, ἀποστερεῖν ἐστι, κατὰ τὸν αὐτὸν Ἀπόστολον, ταὐτὸν εἰπεῖν, ἀδικεῖν. τοῦτο γὰρ αὐτὸ ἦγεν τὸ ἀποστερεῖν ἡ ἐπὶ τῆς ἀδικίας τῶν χρημάτων λέγεται. ἐπεὶ ἡ μίξις αὕτη ἡ γαμικὴ, ἀσχολίαν, ἐ μὴν δὲ ἡ ἀκαθαρσίαν ἐμποιεῖ. (ὅρα Θεοφύλακτον Βυλγαρίας εἰς τὴν ἑρμηνείαν τοῦ, " μὴ " ἀποστερεῖται ἀλλήλων. ά. Κορινθ'. ζ'. .) τὸ δὲ, ἵνα σχολάζητε τῇ " νηστείᾳ ἡ τῇ προσευχῇ, σημαίνει τὸ, ὅταν καιρὸς ᾖ ἐπιτεταμένως προσεύξασθαι. οἷος ἂν εἴη μάλιστα, ἐφ' ὃν μέλλομεν μεταλαβεῖν. (Βλάσαρις, κεφ. ιή τοῦ Γ.) ἐ γὰρ εἶπεν ἁπλῶς, ἵνα προσεύχησθε. ἀλλ' ἵνα σχολάζητε. εἰ γὰρ σὰ τὸ ἁπλῶς εὔχεσθαι ἀπέργει τοῖς γεγαμηκόσι τὴν συνέλευσιν, πῶς ἀλλαχοῦ φησὶν (ά. Θεσσαλονίκης έ. 17.). ἀδιαλείπτως προσεύχεσθε; ὡς ἂν ἓν ἡ εὐχὴ σπουδαιοτέρα γένηται, ἀπέχεσθέ φησιν ἀλλήλων, ὡς ἡ τοῖς Ἰουδαίοις πάλαι ἐπετέταχτο ὠτῷ Σινᾷ (Ἔξοδ. ιθ'. 15.) μὴ προσελθεῖν γυναιξὶ τρεῖς ἡμέρας. Καὶ ὁ Ἰωήλ, " ἁγιάσατε νηστείαν εἶπων, προσέθετο, ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος

» καιρὸν, ἵνα σχολάζωσι τῇ προσευχῇ, ἢ τῇ νηστείᾳ (1). ἢ πάλιν ἐπὶ τὸ αὐτὸ ὦσι, κατὰ τὸν Ἀπόστολον.

ΚΑΝΩΝ Δ'. (α)

Οἱ καθ' ὕπνους ἀποσπερματισθέντες, τῷ ἰδίῳ καταχολωθέντωσαν συνειδότι, ἢ εὐπαρρησίαστοι ὄντες, προσίτωσαν τῷ Θεῷ. καὶ ἐπὶ τῶν βρωμάτων γάρ φησιν, » ὁ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται (2).

ΚΑ-

(α) Τιμοθ'. ιϛ'. Ἀθανασ'. ά. πρὸς Ἀμμῶν Ἐπιστολ. ἢ τὴν σημείωσιν. ὡ τούτῳ ἢ Νηστευτ. ε'. πρὸς Ῥωμ'. ιδ'. 23.

» τῶνος αὐτῦ, ἢ Νύμφη ἐκ τῦ πατρὸς αὐτῆς (6'. 15. 16.). Ἐὰν δὲ καιρῦ ὠφάντος τῆς προειρημένης ἐπιτεταμένης προσευχῆς, κἀκεῖνα πάλιν τὸ ἕτερον μέρος ἀ δέχηται τὴν ἀποχὴν, ἐμοὶ δοκεῖ, ὅτι ὀφέλει παρορᾶσθῆναι τὴν ἐκείνα ὤφασιν. ὃ δὲ Θεολόγος Γρηγόριος, τὸ ά. φησὶ συνοικέσιον, Νόμος. τὸ 6'. συγχώρησις. τὸ γ' παρανομία. Τὸ δὲ ὑπὲρ τῦτο, χοιρώδης βίος, (εἰς τὸ, ὅτε ἐτέλεσεν ὁ Ἰησῦς τοὺς λόγους τούτους. σελίδι, 501. Α.). (1) Τὰς νηστίμους ἴσως σύνοιδεν ἡμέρας, ἃς παρὰ τῆς Ἐκκλησίας ἐνομοθετήθησαν τηρεῖσθαι, ἢ μάλιστα ἃς ἕπονται ἀνωτέρω τῆς μεταλήψεως. ὅρα ἢ Τιμοθέα τὴν, ιγ'. ἀπόκρισιν, ἢ Βαλσαμῶνος τὴν, ί. ἢ, ια'. ἢ, να'. ἢ, νϛ'. καθ' ἣν τελευταίαν ἀπόκρισιν, ἢ μὴ μεταλαμβάνειν ὡ τῷ Πάσχα τοὺς μιγνυμένους συζύγους τῇ τεσσαρακοστῇ ἐθέλει. (2) Ὡς ἐ ἔλεγεν ὁ Πατὴρ, ἐὰν αἴσθωνται χωρὶς ἐμπαθείας γενέσθαι τὴν ῥῦσιν, μετεχέτωσαν τῶν ἁγιασμάτων. ἢ ἵν' ἔτως ἕπω, ὅπερ ὁ Ἀπόστολος ἐπὶ τῶν βρωμάτων ἔχρησε. τοῦτο ἢ ἐγὼ φημὶ ἐπὶ τῦ ὑπνιασμῦ, ἢ τὰ ἑξῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΠΕΤΡΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ Ο ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΛΟΓΟΣ, ΔΙΑΙΡΟΥΜΕΝΟΣ ΕΙΣ ΔΕ ΤΕΣΣΑΡΑΣ ΚΑΝΟΝΑΣ. Ο ΔΕ ΜΕΤ' ΑΥΤΟΥΣ ΔΕΚΑΤΟΣ ΠΕΜΠΤΟΣ ΚΑΝΩΝ, ΠΑΡΕΙΛΗΠΤΑΙ ΕΝ ΤΗ ΕΙΣ ΤΟ ΠΑΣΧΑ ΛΟΓΩ ΤΗ ΑΥΤΗ ΑΓΙΩ.

Προθεωρία περὶ τῆ αὐτῆ ἁγίω.

Πέτρος ὁ Θεῖος, δύω μετὰ τὸν Μακάριον Διονύσιον μεσολαβησάντων προέξη τῆς αὐτῆς Ἀλεξανδρείας ποιμήν. μαρτυρήσας ἐπὶ Διοκλητιανῆ (1).

ΚΑΝΩΝ Α'. (α)

Τοῖς μετὰ πολλὰς ἢ ἀνηκέστους βασάνες προδιδομένοις ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, μετὰ τὸ καταπονθῆναι γ'. ἔτος, προσεπιτιμηθήτωσαν αὐτοῖς ἢ ἄλλαι μ'. ἡμέραι, ἢ οὕτω δεχθήτωσαν, καταμελετωμένοις παρ' αὐτῶν, τῆ, ὥπερ ἢ ὁ Κύριος ἐχρήσατο ἐν τῇ τῶν τοσούτων ἡμερῶν νηστεία ὑπὸ τῆ διαβόλη πειραζόμενος » ὕπαγε ὀπίσωμου Σατανᾶ γέγραπται γὰρ, Κύριον τὸν Θεόν σου προ„ σκυνήσεις, ἢ αὐτῷ μόνῳ λατρεύσεις.

ΚΑΝΩΝ Β'. (β)

Τοῖς δὲ μετὰ τὸ, ἐν Φυλακῇ μόνον ξενοχωρίας, ἢ δυσωδίας πειραθῆναι χωρὶς βασάνων, μᾶλλον δὲ ἐν ἀπολαύσει πολλῆς ἀναπαύσεως τῶν ἀδελφῶν, κατά τινα πτωχείαν δυναμεως ἢ τυφλότητα τεθραυμένοις τε ἢ ἠχμαλωτισμένοις (2), ἐπαρκέσει ἑνιαυτὸς πρὸς τῷ ἑτέρῳ χρόνῳ (3), μεμνημένοις τῆ λέγοντος „ Πνεῦμα Κυρίου ἐπ' ἐ-

(α) Ματθ. δ'. 10. Δευτερον'. ς'. 13. (β) Ἡσ. ξά. 1. Λουκ. δ'. 18.

(1) Ὅρα ἢ Συναξαριστὴν Νοεμβρίου κδ'.
(2) Ἐκπεσοῦσι δηλαδὴ ἀρνησαμένοις. (3) Ταυτὸν εἰπεῖν, ἕτερος τες

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» ἐπ' ἐμὲ, ἕ ἕνεκεν ἔχρισέ με. Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσαλ-
» κέ με . . . . κηρύξαι αἰχμαλώτοις ἄφεσιν, κξ'.

ΚΑΝΩΝ Γ'. (α)

Τὸς τε χωρὶς τῦ παθεῖν τι, ἀλλ' αὐτομολήσαντας πρὸς τὴν κα-
κίαν, προδεδομένους διὰ Φόβον, μετὰ δ'. ἔτος ἢ αὐτὸς δεχόμεθα,
καταταυτὰ τῷ χρόνῳ τῆς ἐν τῷ Εὐαγγελίῳ ἀκάρπε Συκῆς (1) ἣν
πρὸ ὀΦθαλμῶν ἔχοντες, ἢ καρπὸν μετανοίας ἀδειξάμενοι, ὠΦε-
ληθήσονται. ΚΑΝΩΝ Δ'. (β)

Τοῖς δὲ παντάπασιν ἀπεγνωσμένοις (2) ἢ ἀμετανοήτοις, λεχθή-
σεται τὸ τῆς ἑτέρας συκῆς, μηκέτι ἐκ σῦ καρπὸς γένηται εἰς τὸν
» αἰῶνα. ἢ παραχρῆμα ξηραίνεται.

ΚΑΝΩΝ Ε'. (γ)

Τὸς καθυποκριναμένους κατὰ τὸν ἐπιληπτευσάμενον Δαβὶδ, ἢ ὡς
παιδία ἔμΦρονα, κατὰ πολλὴν ξενοχωρίαν διαπαίζαντας ἐν παι-
δίοις ἄΦροσι, τὰς τῶν ἐχθρῶν ἐπιβελὰς, δόξαντάς τε, ἢ προσιέ-
ναι τοῖς βωμοῖς, ἢ χειρογραΦῆσαι, ἢ ἀνθ' ἑαυτῶν, ἐθνικὸς βα-
λεῖν, μὴ γυμνῶς δὲ ἀπογραψαμένους τὰ πρὸς ἄρνησιν, μετὰ ἑξάμη-
νον δεχθῆναι, μελετῶντας τὸ, » Παιδίον ἐγεννήθη ἡμῖν Υἱὸς . . . .
» ἢ καλεῖται τὸ ὄνομα αὐτῦ μεγάλης βελῆς ἄγγελος. ὃς ἐν τῷ
ς'. μηνὶ τῆς συλλήψεως τῦ ἑτέρυ παιδίυ συνελήΦθη, κηρύττων
μετ' ἐκείνυ μετάνοιαν. ΚΑΝΩΝ ς'. (δ)

Τὸς δόλυς τὸς διὰ τὸ καταπεληθῆναι ὑπὸ τῶν οἰκειων Δεσπο-
τῶν εἰς τῦτο (3), ἀντ' αὐτῶν, ἐλληυθότας, μετὰ ἐνιαυτὸν δεχε-
σθαι.

(α) Λυκ. ιγ'. 6. 7. 8. 9.
(β) Ὅρα Ἐκκλησιαστικὴν α'. ις'. ἢ Ἡσαΐε μή. 22. Ματθ. κα'. 10.
(γ) α'. Βασιλ. κεΦ. κα'. 13. Ἡσαΐε β'. 6. Λυκ. ί. 26. Ματ-
θαίυ γ'. 2. δ'. 17. (δ) ἘΦεσ'. ς'. 8.

τος ὠιαυτὸς συμπαραλαμβανομένυ δηλαδὴ τῷ ὠ τῷ δε τῷ Κανένι ὠι-
αυτῷ, ἢ τῷ ὠ τῷ ἀνωτέρῳ πάντῳ, γ'. ἔτος.
(1) Τρία ἔτη, ἐν οἷς ἤρχετο ὁ Κύριος, ἢ ἦν, ὃ ἠτήσατο ὁ ἀμπελουργὸς,
τέσσαρα. (2) Καὶ ἕτοι οἱ ἀρνησόθεοι εἰσί. (3) Εἰς τὸ θῦσαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθαι μανθάνοντας τῶ λοιπῶ ὅτι τῶ Χριςῶ εἰσι δῶλοι, ἢ Φοβείσθωσαν αὐτὸν εἰδότες ὅτι » Ὃ ἐάν τι ἕκαςος ποιήσῃ ἀγαθὸν, τῶτο κο» μιεῖται παρὰ Κυρίῳ, εἴτε δῶλος, εἴτε ἐλεύθερος.

ΚΑΝΩΝ Ζ'. (α)

Οἱ δὲ εἰς τῶτο καταναγκάσαντες Δεσπότας, τριετίαν ἐξετασθήσονται ἐν μετανοίᾳ. παρήκωσαν γὰρ τῶ Ἀποςόλῳ τὰ αὐτὰ θέλοντος ποιεῖν τὺς Δεσπότας τοῖς δῶλοις, ἀνιέντας τὴν ἀπειλὴν, κξ'.

ΚΑΝΩΝ Η'.

Τοῖς προδεδομένοις ἢ ἐκπεπτωκόσιν (1), εἶτα ὁμολογήσασι τὸν Χριςὸν, ἢ διὰ τῶτο βασανισθεῖσιν, εὔλογόν ἐςιν ἐν ἀγαλλιάσει καρδίας συνεπισχύειν ἢ κοινωνεῖν ἔντε ταῖς προσευχαῖς, ἢ τῇ μεταλήψει τῆς εὐχαριςίας, ἵνα εὐτονώτερον ἀγωνισάμενοι, καταξιωθῶσι ἢ αὐτοὶ τῶ βραβείῳ τῆς ἄνω κλήσεως.

ΚΑΝΩΝ Θ'. (β)

Τοῖς ὡς ἐξ ὕπνῳ (2), παραπηδῶσιν εἰς τὸν ἀγῶνα ὠδίνοντα, ἢ ὐ μόνον εἰς ἑαυτὺς, ἀλλὰ ἢ εἰς τὺς ἀδελφὺς ἐπισπασαμένοις πειρασμὸν, ἢ αὐτοῖς κοινωνητέον, ἐπείγε ἐν ὀνόματι Χριςῶ ἠγωνίσαντο, καί τοι τοῖς λόγοις αὐτῶ μὴ προσέχοντες » διδασκόντος προ» σεύχεσθαι ἵνα μὴ εἰσέλθωμεν εἰς πειρασμόν.

ΚΑ-

(α) Ἐφεσ'. ς'. 9. (β) Ματθ. κς'. 41. ς'. 13.

(1) Τοῖς παραδεδομένοις παρ' ἄλλων εἰς τὺς τυράννυς, ἢ διὰ φόβον ἴσως ἀρνησαμένοις, εἶτα παῤῥησιασθεῖσι πάλιν εἰς τὺς τυράννυς, ὡς Χριςιανοῖς, ἢ διὰ τὴν ἑαυτῶν ὁμολογίαν ὑποςᾶσι βασάνυς, τοῖς τοιῶτοις λέγω, δέον συμβοηθεῖν, ἔτι ὡ τοῖς ἀγῶσιν ὦσι, ἢ τῆς θείας κοινωνίας ἀξιῶν, ἵνα εὐτονώτερον ἀγωνίσωνται, ἢ καταξιωθῶσι τῶ βραβείῳ κξ'.

(2) Καθὼς οἱ ἐξ ὕπνῳ ἐγειρόμενοι, εἴ γε εὐθέως ἐπιχειρήσωσι ποιῆσαι, ὐκ ὀρθὸν ποιῶσιν, ἐσκοτισμένοι ὄντες ἔτι ἀπὸ τῶ ὕπνῳ. ὕτω ἢ ὅτοι τὸ τοιῶτον πήδημα ὐκ ἐπαινετῶς ἐποιήσαντο εἰς τὸν ἀγῶνα τῶ μαρτυρίῳ, ἢ διότι αὐτόκλητοι ἐπήδησαν, ἢ διότι ἐν καιρῷ ἐπήδησαν, ἐν ᾧ ὐκ ἦν Φανερὸς ὁ διωγμὸς, ἀλλ' ὥδινεν ἔτι, ἢ τρόπον, ἢ ἑαυτοῖς ἐπεσπάσαντο πειρασμὸν, ἢ κατὰ τῶν ἄλλων ἀδελφῶν ἐκίνησαν τὺς διώκτας, τῷ ἀτά-

κτῳ

ΚΑΝΩΝ Ι΄. (α)

(1) Κληρικὸς δὲ αὐτομολήσαντας, ἢ ἐκπεπτωκότας, ἢ ἀναπαλαίσαντας, ἐπειδὴ κατέλιπον μὲν τὸ τῦ Κυρίυ ποιμνιον, ἐμωμήσαντο (2) δὲ ἑαυτὸς, καθαιρεῖσθαι (3)· ἢ γὰρ ὁ Ἀπόστολος ἐπι-
» θυμίαν εἶχεν » εἰς τὸ ἀναλῦσαι, ἢ σὺν Χριστῷ εἶναι. ἀλλ' ἔλε-
» γε, τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς.

ΚΑΝΩΝ ΙΑ΄. (β)

Καί τοι εἰσί τινες παραπηδήσαντες ἐν ἀκμῇ διωγμῦ, πολλῇ τῇ παῤῥησίᾳ χρώμενοι, διὰ δὲ τὰς βασάνυς ἡττηθέντες, ἢ διὰ τῦτο μεταγνόντες, ἢ ἀποδυρόμενοι, κατὰ πίσιν τε ὑπεξιόντες (4), ἄξι-
ον μέντοιγε ἐστὶν ἐπινεῦσαι τύτοις Εὐχάς τε γίνεσθαι ὑπὲρ αὐτῶν,
(ἐάν τις γὰρ ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέ-
» ρα Ἰησῦν Χριστὸν δίκαιον, ἢ αὐτὸς ἱλασμός ἐστιν ὑπὲρ τῶν ἁ-
» μαρτιῶν ἡμῶν), συμπάσχειν τε ἢ ἀλγεῖν τοῖς ὀδυρομένοις ὑπὲρ

τῶν

(α) Ἀποσ. ξϛ΄. τῆς ἁ. ἰά. Ἀγκυρ. ἁ. ϛ΄. γ΄. Πέτρυ. ιϛ΄. Ἀθανασ. Ἐπιστολ. πρὸς Ῥεφιανὸν Θεοφ. ϛ΄. Φιλιπ. ἁ. 23. 24.
(β) Α΄. Ἰωάννυ ϛ΄. 1. 2.

κτῳ αὐτῶν κινήματι. ἀλλὰ καὶ τοι ἔτως, ἀτάκτως δηλαδὴ ἠγωνίσαντο, ἐπεὶ μέντοι ὅλα Χριστὸν ἠγωνίσαντο, κοινωνητέοι ἐκχωρῦνται εἶναι τοῖς πιστοῖς, μὴ ποινηλατέμενοι δηλαδή. (1) Ἐν τῷ ἀνωτέρ. Κανόνι συγχωρήσας τὰς λαϊκὰς τὰς αὐτομολήσαντας εἰς τὰς ἀγῶνας, ἢ ἐκπεπτωκότας μὲν ὅλα τὰς βασάνυς, ἀναπαλαίσαντας δὲ πάλιν. ἐπὶ τῦ παρόντος καθαιρεῖ τὰς Κληρικὰς τοιῦτόν τι πράξαντας.

(2) Ἐμωμήσαντο ἑαυτὸς, μὴ ἀντισχόντες, ἀλλ' ὑπωδόντες τοῖς τυράννοις. (3) Διὸ, τι τοία ἄτοπα ἐποίησαν οἱ τοιῦτοι, ἓν μὲν ὅτι αὐτόκλητοι ὑπεισῆλθον εἰς τὸν ἀγῶνα, κεκωλυμένον ὂν τῦτο, ἢ ὑπὸ τῦ ἁγίυ Γρηγορ. τῦ Θεολόγ. ἢ πρὸ τύτυ, παρ' αὐτῦ τῦ Σωτῆρος (Ματθ. ι. 23. ἢ, ιϛ΄. 15. Ἰωάν. ἰά. 54). β΄. ὅτι τὸ ἑαυτῶν ποίμνιον κατέλιπον ὁπότε, διωγμῦ ὄντος, ἠδύναντο ταῖς ἑαυτῶν ὁδασκαλίαις, τύπος εἶναι ἐκείνυ ἢ σφοιγμός. ἢ γ΄. ὅτι ἐκπεπτώκασι, ἀρνησάμενοι δηλ. ὅλα τὸ μὴ ὑπομένειν τὰς βασάνυς. (4) Ἀλλ' ἂν ἀποθανόντες ὡ ὀρθοδόξῳ πίστει, ἢ κρυφίως ὑποχωρήσαντες ἀπὸ τῶν ἀτίσων, εἰς τὸ τὰ τῆς εὐσεβῦς πίστεως ἐλευθέρως ἐνεργεῖν, (τύτων γὰρ θάτερον ἔοικεν αἰνίττεσθαι ὁ ἅ-

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

τῶν ἡττηθέντων συγγενῶν.

ΚΑΝΩΝ ΙΒ'. (α)

Τοὺς δόντας ἀργύρια, ὥστε ἀνενοχλήτους αὐτοὺς παντάπασι γενέσθαι ὑπὸ πάσης κακίας (1), ἀκαταπτιάτους εἶναι, ἢ περὶ τῶν συρόντων γὰρ, ἀντὶ Παύλου, ἢ Σίλα ἐν Θεσσαλονίκῃ » λαβόντες φασὶ τὸ » ἱκανὸν παρὰ τοῦ Ἰασονος, ἀπέλυσαν αὐτούς.

ΚΑΝΩΝ ΙΓ'. (β)

Οἱ ἐάσαντες πάντα (2), ἢ ἀναχωρήσαντες, ἐκ ἐγκληθήσονται, εἴγε ἄλλοι δι' αὐτοὺς κατεσχέθησαν. ὅτε γὰρ ὁ Παῦλος, ἐπεὶ συνήρπασαν δι' αὐτὸν Γάϊον, ἢ Ἀρίσαρχον. ὅτε ὁ Πέτρος, ἐφ' ὅτῳ ἀπήχθησαν δι' αὐτὸν οἱ Φύλακες. ὅτε ὁ Χριστὸς, διότι ἀνῃρέθησαν δι' αὐτὸν τὰ βρέφη. ὅτε ὁ Πρόδρομος, καθότι ἐφονεύθη δι' αὐτὸν ὁ Πατὴρ αὐτοῦ Ζαχαρίας (3), αἰτιῶνται.

ΚΑΝΩΝ ΙΔ'. (γ)

Οἷς δὲ οἱ εἰδωλολάτραι βίαν πολλὴν ἢ ἀνάγκην ἐπήγαγον, τῇ μὲν, χάνον

(α) Πράξ. Ἀποστ. ιζ'. 9. (β) Πράξ. ιθ'. 29. ἢ ιϛ'. 19. Ματθ. ϛ'. 16 ἢ κγ'. 35. (γ) α'. πρὸς Τιμόθ. ε'. 11. 12.

ὁ ἅγιος, ἀλλὰ τῷ ὑπεξιέναι κατὰ πίστιν), τοῖς ἂν ἔτως ὑπεξιοῦσι, δίκαιόν ἐστιν ἐπινεῦσαι, εἶτ' ἂν συγκαταβῆναι, ἢ δεήσεις ποιεῖν ὑπὲρ τῶν τοιούτων ἢ σὺν τοῖς συγγνώστην αὐτῶν, ἀλγοῦσι ἢ πάσχουσιν ὑπὲρ αὐτῶν ἠτιμηθώτων, ἢ ἡμᾶς ἀλγεῖν, ἢ συμπάσχειν. (1) Ὥστε μήτε ἀρνήσασθαι δηλαδὴ μήτε ὅλως βασανισθῆναι ὡ τῷ ἁλισγμῷ.

(2) Δηλονότι περὶ τῶν καταλιπόντων τὰς ἑαυτῶν περιουσίας ὡ τῷ διωγμῷ ἢ φυγόντων φησί.

(3) Ὁ μέγας Βασίλειος ὡ τῶ εἰς τὴν Χριστοῦ γώνησιν λόγῳ φησὶν ὅτι, » λόγος τίς ἐστι, ἢ ἔτος ἐκ παραδόσεως εἰς ἡμᾶς ἀφιγμένος, ὅτι ὁ Ζαχαρίας ὡ τῇ τῶν παθώνων χώρᾳ, τὴν Μαριὰμ καταλάξας, μετὰ τὴν τοῦ Κυρίου » κύησιν, ὑπὸ τῶν Ἰουδαίων κατεφονεύθη μεταξὺ τοῦ Ναοῦ, ἢ τοῦ θυσιαστη» ρίου, ἐγκληθεὶς ὑπὸ τοῦ λαοῦ, ὡς ἁλὰ τοῦτο κατασκευάζων τὸ παράδοξον » ἐκεῖνο ἢ πολυθρύλητον σημεῖον, παρθένον γεννήσασαν, ἢ τὴν παρθε» νίαν μὴ διαφθείρασαν. ἀλλ' ὡδέχεται ἢ τοῦ ἁγίου Πέτρου ἀληθεύειν, ὡς ἢ τὸ τοῦ μεγάλου Βασιλείου, ἢ ὡ μὲν τοῖς κατὰ τὴν Θεσσάλονικον, ἐγκλη-

μα

χάνον τιθέντες ἐκείνων τοῖς σώμασι (1), τῇ δὲ, προσάγοντες τὰς χεῖρας ἀκόντων καῆναι τῷ ἀνιέρῳ θύματι. ἔτοι ἐν τοῖς ὁμολογηταῖς ταχθήσονται, κατὰ τὸν Τιμόθεον (2), ἐπεὶ ὁ συγκατέθαντο τῇ σφῶν βδελυρίᾳ.

ΚΑΝΩΝ ΙΕ'. (α)

Τὰς τετράδας, διὰ τὸ ὑπὸ τῶν Ἰουδαίων συμβέλιον ἐπὶ τῇ προδοσίᾳ τοῦ Κυρίου, καὶ τὰς Παρασκευὰς, διὰ τὸ πεπονθέναι αὐτὸν ὑπὲρ ἡμῶν, κατὰ παράδοσιν εὐλόγως νηστεύομεν (3). τὰς δὲ Κυριακὰς, χαρμοσύνως ἄγομεν, διὰ τὴν Ἀνάστασιν, ἐν αἷς οὔτε μὴν γονυκλιτοῦμεν.

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ, ΚΑΝΟΝΕΣ ΔΩΔΕΚΑ.

Προθεωρία περὶ τοῦ αὐτοῦ ἁγίου.

Γρηγόριος Νεοκαισαρείας ὁ θαυματουργὸς γέγονεν ἐπὶ Αὐρηλιανοῦ Βασιλέως, κατὰ τὸ, σοέ. ἔτος (4). Αὐτὸς ἐστι καὶ ὁ διδαχθεὶς καθ' ὕπνον τὸ μυστήριον τῆς ἁγίας Τριάδος παρὰ τῆς Θεοτόκου, καὶ Ἰωάννου τοῦ Θεολόγου. ὃς καὶ ἐρωτηθεὶς

(α) Ἀποστόλων ξθ'.

μα μόνον φόνου ὑποσχεῖν, μὴ φονευθῆναι δέ. ὡ δὲ τῇ τοῦ Προδρόμου Φυγῇ, ἀναγεῖν εἰς ἔκβασιν τὴν καταδίκην τοῦ ἐγκλήματος.

(1) Σιδηροδεσμοῦντες αὐτὰ εἰς τὸ ἀνοιχθῆναι ἴσως καὶ δέξασθαι τὰ εἰδωλόθυτα. (2) Ὁ Ἀπόστολος ἐστὶν ἔτος, καὶ ὅρα τὰ ὡ τῇ πρὸς αὐτὸν ἐπιστολῇ τοῦ Παύλου. (3) Ὁ μέγας Ἀθανάσιος ὡ τῇ διδασκαλίᾳ τῇ πρὸς πάντας. (τόμῳ ς'. σελ. 7co. B.) ἡ τῆς Τετράδος καὶ Παρασκευῆς. Φησὶν ἕως ὥρας ὠνάτης νηστεία. τεταγμένη ἐστίν. ὁ δὲ Ἐπιφάνιος Κύπρου βιβλίον γ'. κατὰ αἱρέσεων, ὡ ἄρτῳ, καὶ ἅλατι, καὶ ὕδατι ταύτην ὁρίζει. ὅρα καὶ τὰς ὡ τῷ ξθ'. Ἀποστόλων, καὶ ν'. Λαοδικείας σημειώσεις καὶ Νικολάου Κωνσταντινουπόλεως ὡ τῷ τυπικῷ σελίδι, 235. καὶ Ἰωάννου Κίτρους Ἀποκρίσει, ις'. πρὸς Καβάσιλαν, καὶ τὸ τέλος τῆς σημειώσεως, τοῦ ί. τοῦ Τιμοθέου. (4) Ὅρα τὸν Συναξαριστὴν. Νοεμβρίου ις'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεὶς παρὰ τῦ Πάπα, τὺς Κανόνας τύτες ἔξεδοτο ἐν εἴδει Ἐπιστολῆς.

ΚΑΝΩΝ Α'. (α)

1. (1). Οὐ βαρεῖ (2) ἡμᾶς τὰ βρώματα, εἰ ἔφαγον ταῦτα οἱ ἀίχμαλωτοι. ἅπερ παρετίθεσαν αὐτοῖς οἱ κρατῦντες αὐτῶν βάρβαροι. μάλιστα ἐπειδὴ ᾄδεται τὺς τοιύτυς βαρβάρυς εἰδώλοις μὴ τεθυκύναι (3). " ἀλλ' ὁ δὲ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρω-" πον, κατὰ τὸ γραφικόν.

ΚΑΝΩΝ Β'. (β)

1. Τῇ ὑπὸ βαρβάρων ἐξυβρισθείσῃ αἰχμαλώτῳ, εἰ μὲν προεσωφρόνει, ὐκ ἔστιν ἁμάρτημα θανάτυ (4), ὥσπερ ὐδὲ τῇ ἐν τῷ Δευτερονομίῳ Νεάνιδι. εἰ δὲ μὴ πρότερον κατέγνωστο ἐκείνης ὁ βίος, ὐ δεῖ

(α) Πέτρυ ιδ'. Μαρκυ ζ'. 15. 18. 19. 20.
(β) Βασιλ'. μθ'. Νικηφ'. κ'. Δευτερον. κδ'. 25. 26. 27.

(1) Τὸν ά. τῦτον Κανόνα, ἢ τὸν β'. τῦ ἁγίυ ὁ Βαλσαμὼν εἰς ἕνα περικλείει. ἢ ἐκ τύτυ ὃς ἐγὼ ἀριθμῶ δύο ἢ δέκα, αὐτὸς ἕνδεκα ψηφίζει. ἀμέλει εἰ θέλει τις εὑρεῖν αὐτὺς ὡ αὐτῷ τῷ Βαλσαμῶνι, ἢ ὡ ταῖς πανδέκταις, ἰδὺ σημειῶ αὐτὺς κατ' ἐκείνυς ἢ ὅλα τῶν ἀραβικῶν ἀριθμῶν ἔξωθεν. (2) Τὸ φαγεῖν τὺς αἰχμαλώτυς βρώματα, ἅπερ παρετίθυν αὐτοῖς οἱ βάρβαροι, (μάλιστα ἐπειδὴ ᾄδεται κξ'. τῦ Κανόνος). ἤκιστα δίδωσιν ἡμῖν βάρος λογίζεσθαι ἁμαρτίας, ἢ βαρεῖαν ἁμαρτίαν τὸ τοιῦτον. (3) Καὶ ἑπομένως ὅτε εἰδωλόθυτα ἦσαν, καίτοι ἴσως ἄλλως κεχραμένα, ἢ ἀκάθαρτα. Διὰ τί δὲ ὁ θεῖος Πέτρος ὡ τῷ ιδ'. αὐτῦ Κανόνι ἢ ὁμολογητὰς τὺς τοιύτυς καλεῖ, ὅτις δὲ ὁ ἅγιος ὐκέτι; ἢ ὅτι ἐκεῖνοι ἐκ ἰδίαις χερσὶν, ὡς ὅτοι, ἐγεύσαντο, ἀλλὰ σ.δηροδεσμηθύτες.

(4) Οὐ μὴν ἢ πάντη ἀνέγκλητος ἡ τοιαύτη τυγχάνει. ἢ δι' ἄλλας προηγησαμένας ἁμαρτίας φθαρεῖσα, ἢ ὅλα μελλύσας. διὸ ἢ αὕτη μετρίως ἐπιτιμητέα. ὅρα ἢ τὸν κ'. Νικηφόρυ ποινηλατῦντα τὴν τοιαύτην. ἢ τὸν λδ'. τῦ Νησευτῦ, δι' ὃ ἢ τὸν χωρὶς τῦ δοῦναι αἰτίαν ἐμέσαντα ὡ τῇ αὐτῇ ἡμέρᾳ. ὡ ἢ ἐκοινώνησε τῶν θείων μυστηρίων. ὁ ἅγιος κανονίζει, καθὼς ἢ τὴν ἀκυσίως τὸ βρέφος ἀποβαλῦσαν (ὡ τῷ αὐτῦ, καὶ ἢ κδ'.). Καὶ παρὰ μὲν λαϊκῦ συζύγυ, ἡ ὅτω βιαίως ὑπὸ τῶν κρατύντων φθαρεῖσα, δεχθήσεται (κατὰ τὸ ε'. θέμα τῦ ς'. κεφ. τῦ. λή. τίτλ. τῦ ξ'. βιβλ'. τῦ πολιτικῦ Νόμυ.) παρὰ δὲ Ἱερέως, ἤκιστα. ἀλλ' ἐὰν αὐτὴν δεχθῇ, παύσεται τῦ Ἱερατεύειν. καί τοι ἔστιν οἳ τῇ τοιαύτῃ δόξῃ ὐ συ-

δεῖ προχείρως κοινωνεῖν τῶν Εὐχῶν (1).

ΚΑΝΩΝ Γ'. (α)

